ACADEMIA SCIENTIARVM GERMANICA
BEROLINENSIS

BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

EDITA CONSILIO ATQVE AVCTORITATE
INSTITVTI
GRAECOROMANAE ANTIQVITATIS
STVDIIS COLENDIS DESTINATI



LIPSIAE IN AEDIBVS B.G.TEVBNERI MCMLXIV


PROCOPII CAESARIENSIS
OPERA OMNIA

RECOGNOVIT
JACOBVS HAVRY

VOL. IV

ΠΕΡΙ ΚΤΙΣΜΑΤΩΝ LIBRI VI
SIVE
DE AEDIFICIIS CVM DVOBVS INDICIBVS
PRAEFATIONE EXCERPTISQVE PHOTII ADIECTIS

EDITIO STEREOTYPA CORRECTIOR
ADDENDA ET CORRIGENDA
ADIECIT
GERHARD WIRTH



LIPSIAE IN AEDIBVS B.G.TEVBNERI MCMLXIV

BIBLIOTHECAE TEVBNERIANAE
HVIVS TEMPORIS
REDACTOR: JOHANNES IRMSCHER

HOC VOLVMEN IMPRIMENDVM
CVRAVIT
VRSVLA PETERS


ADMONEBVNTVR, QVI HVNC LIBRVM LEGENT,
VT ADDENDA ET CORRIGENDA CONSVLANT
LATERCVLO □ IN MARGINE APPICTO

ES 7 M
LIZENZ-NR. 294/375/18/64
PRINTED IN THE DEMOCRATIC GERMAN REPVBLIC
ZWICKOVIAE: TYPIS F. VLLMANNI (III/29/2) · 1789

PROLEGOMENA

DE CODICIBUS

Stemma codicum.



x, y, z sunt codices deperditi.
V = cod. Vaticanus 1065.
L = cod. Laurentianus 70, 5 (fragmentum).
A = cod. Ambrosianus A 182 sup.

d = cod. Monacensis 513.
l_1 = cod. Leidensis (Bon. Vulcanii) 56.
p = cod. Parisinus Coislinianus 132.
v = cod. Vaticanus 1202.

g = cod. Genavensis m g 43.
l = cod Laurentianus 9, 32.
p_1 = cod. Parisinus 1941.
p_2 = cod. Parisinus 39.
p_3 = cod. Parisinus 2489.

Codicum, qui sex libros de aedificiis continent, sunt duae familiae, quarum altera y integrum, altera z lacunosum contextum exhibet. Litteris maiusculis insignivi eos codices, quos secutus constitui contextum, minusculis eos, qui nullius pretii sunt. Iam primum illos, tum hos describam.

V = cod. Vaticanus graec. 1065 (olim 16 et 53). Est bombycinus saec. XIII., foliorum modulus 247×192—196 mm., columnarum 206—214×134 mm. Constat 100 foliis litterariis, numeris insignitis, tribus foliis ante contextum, uno post contextum non numeratis; numeratio quaternionum non exstat. In singulis paginis sunt 29—33 versus. Folio III° agglutinatus est index manu scriptus. Continentur hoc codice praeter alia:

Procopii de aedificiis Iustiniani imperatoris libri sex fol. 22 — fol. 93ᵛ.

Ioannis Scholastici de iunioris Chosrois ad Mauricium imperatorem defectione fol. 94ᵛ; quod fragmentum in codice Vaticano 1056 exstare per errorem dictum est a C. Muellero F. H. G. IV. p. 272.

Textus Procopianus ab una manu atramento belle scriptus est, tituli, litterae initiales, notae marginales minio exarata sunt. Iota mutum modo adscriptum modo neglectum est. Super singulos libros de aedificiis ornamenta minio et atramento depicta sunt. Contuli hunc codicem optimum a. 1894, iterum inspexi a. 1898.

L = cod. Laurentianus 70, 5. Est chartaceus saec. XV., foliorum modulus 279×210 mm., columnarum 205×160 mm. Constat 286 foliis litterariis, singulae paginae habent 28—29 versus. Continetur hoc codice praeter alia fol. 194—fol. 196ᵛ Procopii Caesariensis fragmentum de aedificiis, p. 9, 6—18, 25 ὁ μὲν — ἔχει. Haec contuli et varias lectiones in apparatu critico notavi.

A = cod. Ambrosianus 182 sup. saec. XIV. Hunc cod. descripsi in vol. I p. XLVI.

d = cod. Monacensis 513. Hunc cod. descripsi in vol. I p. XXXV.

l_1 = cod. Leidensis Bon. Vulcanii 56. Est chartaceus saec. XIV. Constat 137 foliis, quorum vacua sunt 100—102. Singulae paginae habent 27—29 versus. Continet Procopii Caesariensis VI libros de aedificiis fol. 9 — fol. 86. Contuli hunc codicem; sed cum viderem eum ex codice fluxisse, qui codici V simillimus erat, lectiones eius non adhibui nisi eis locis, quos ex suo feliciter correxit librarius, qui non videtur ingenio fuisse acutissimo, cum nonnumquam etiam inepte corrumperet contextum velut

201, 12, ubi pro Ἴας ἁγίας μαρτύριον scripsit μαρίας ἁγίας μαρτύριον.

p = cod. Parisinus Coislinianus 132, saec. XVI. Hunc codicem descripsi in vol. III 1, p. XVII. VI libros de aedificiis Iustiniani fluxisse e codice Vaticano 1065 demonstravi in Hy 3, p. 175.

v = cod. Vaticanus 1202. Est chartaceus saec. XVI., foliorum modulus 315×228 mm., columnarum 218×127 mm. Constat foliis 81, praeterea bibliopegus duo folia ante contextum, 5 post contextum addidit; in singulis paginis sunt plerumque 28 versus. Continentur hoc codice fol. 28ᵛ—68ᵛ inter alia Procopii librorum de aedificiis Οὐκ ἀρετῆς — καὶ τοιαύτη 170, 1 —252, 19. In ultima pagina subscripta sunt: „Quae desunt, suppleri possunt ex cod. 1065, ex quo hic exscriptus est.“ Librarius saepe versus exemplaris sui omisit.

g = cod. Genavensis mg 43 (olim 229 et 25). Est chartaceus saec. XV. exeuntis, foliorum modulus 210×150 mm., columnarum 143×80 mm. Constat 158 foliis litterariis, duobus foliis ante contextum, uno folio post contextum non numeratis. Continentur hoc codice:

Procopii de aedificiis libri VI fol. 1—53.

Harpocrationis Lexicon fol. 54—158.

Singulae paginae habent 24 versus. Tituli et litterae initiales minio depicti sunt. Hic codex a duobus librariis exaratus est, quorum alter scripsit fol. 1—53, alter fol. 54—158. In fol. 158 inveniuntur haec: καῖσαρ. στρατηγός. λακεδαιμόνιος/ μισθῷ ἐξέγραψε: ἐν φλωρεντία. Huius Caesaris Strategi mentionem facit V. Gardthausen, Griech. Palaeographie, Leipz. 1879, p. 316. Post textum in interiore parte involucri haec scripta sunt: Procope/ Description/ des Edifices de Iustinien/ sur vélin./ Donné en 1742 par A. Lullin./ fin du 15ᵐᵉ siècle./ Ayant appartenu au Cardinal de Lorraine.

l = cod. Laurentianus 9, 32, saec. XV. Hunc codicem descripsi vol. I, p. L; hic addo eo (fol. 170 — fol. 210) libros quoque de aedificiis contineri et ipsos transscriptos e codice A. Contuli hanc partem a. 1893.

p_1 = cod. Parisinus 1941 (olim 316. 2646). Est chartaceus saec. XV., foliorum modulus 283×200 mm., columnarum fol. 1—145: 207—210×140 mm., fol. 147—178: 207—210×120 mm. Constat 179 foliis, quorum vacua sunt 4—8. Singulae paginae foliorum 1—145 habent 31 versus, fol. 146 51 versus, fol. 147 —178 32 versus. Continentur hoc codice fol. 147—178 Procopii sex libri de aedificiis; quos contuli a. 1894, sed cum eos e codice g transscriptos esse vidissem, lectiones in apparatu critico non adnotavi.

p_2 = cod. Parisinus 39 (olim 3441. 1662). Est bombycinus

saec. XV. Continet fol. 239 et 240 nonnullas paginas sexti libri de aedificiis p. 175, 15 — 179, 13. *μετὰ — ἐπιγίνεται.* Quod fragmentum contuli neque tamen ex eo fructum cepi.

p_1 = cod. Parisinus 2489. Est chartaceus saec. XVII. ineuntis. Continetur hoc codice fol. 13 — fol. 22 Procopii primi libri de aedificiis fragmentum, p. 1—19, 22 *οὐκ ἀρετῆς — εἶναι.* Haec quoque contuli neque tamen quicquam peculiare inveni.

DE EDITIONIBUS

Sex libros de aedificiis primum edidit Beatus Rhenanus Basileae a. 1531; sed cum hic vir doctissimus unico codice stirpis z uteretur, editio eius erat lacunosa et mendosa; nihilo minus immutata iterum typis impressa est Parisiis a. 1543. Contextum auctum emiserunt Dav. Hoeschelius Augustae Vindelicorum a. 1603 et Claudius Maltretus Parisiis a. 1663. Editio Maltretiana repetita est Venetiis a. 1729. Post Maltretum iam nemo operam navabat contextui emendando; nam G. Dindorfius, ex cuius „recensione" a. 1838 libri de aedificiis typis descripti sunt, „cum idoneis codicum praesidiis esset destitutus", Maltreti editionem secutus est. Itaque non paulum operae laborisque in paranda nova editione consumendum erat. Codices enim VLA$l_1$gl$p_1p_2p_3$ totos, codicum dpv satis magnam partem contuli. Ne tamen lectionibus falsis referciam apparatum criticum, nisus solis codicibus V et A maiorem partem contextus constitui, sed cum in cod. A tum multa tum pauca desint, haud raro secutus sum unum cod. V; ex quo sub finem libri sexti complures lacunas explevi. Adhibui quoque fragmentum cod. L. Ceterorum codicum lectiones quod notarem in apparatu critico, me non habuisse his demonstratur exemplis:

p. 5, 3 *ἐς* y[1])Al] *ἐπὶ* gp_1.
3 *ὥρμηκα* yAgp_1] *ὥρμησα* l.
6—7 *γίνεσθαι εἴωθε* yAgp_1] *εἴωθε γίνεσθαι* l.
9 *διατεινομένῳ* ylp_1g] *διχτεινομένῳ* A.
9—6, 3 *καὶ — ἀναδύονται* y] om. z[2]).

1) y = consensus codicum Vl_1.
2) z = consensus codicum Algp_1.

19 *ἐκτετικέναι* V] *ἐκτίσαι* l_1.
21 *τὸ* V] *τὰ* l_1.
p. 6, 5 *ὁ* y] om. z.
5—7 *γέγονεν — παραλαβὼν* y] *παραλαβὼν τὴν πολιτείαν πλημμελῶς κινουμένην* z.
8—9 *ἐξελάσας — βαρβάρους* y] om. z.
10 *ἐν — λόγοις* y] *ἐν τοῖς πρόσθεν λόγοις δεδήλωται* l, *ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται* Agp_1.
10—16 *καίτοι — πόλεις* y] *καὶ γὰρ πόλεις* z.
11 *Νεοκλέους* Hoesch.] *νικοκλέους* y.
12 *μικρὰν* Hoesch.] *μὴ* y.
17 *δὲ εὑρὼν* y] *δ' ἐφευρὼν* Agp_1, *τε ἐφευρὼν* l.
17 *δόξαν τὰ* yp_1l] *δόξαντα* Ag.
18 *ἰέναι* Vz] om. l_1.
18 *συντρίψας* l_1z] *συντρίχας* V.
18—19 *ἁπάσας* y] *πάσας* z.
19 *ἐπὶ* yAgp_1] *ὡς ἐπὶ* l.
20 *ἑστάναι* Vz] *ἑστακέναι* l_1.
20 — 7, 11 *πρὸς — γεγράψεται* y] om. z.
24 *τὸ δὲ τῷ* V, *τὸ δὲ τὸ* l_1.
p. 7, 11 *γεγράψεται* Maltr.] *γέγραπται* y.
11 *γεγονέναι* y] om. z.
12 *Κῦρον — ἴσμεν* z (tamen *ὃν* pro *ὧν* Agp_1)] *τὸν πέρσην κῦρον* y.
13 *βασιλείας* z] *βασιλείας ἀκοῇ ἴσμεν* y.
18—24 *τοῦ δὲ — γεγενημένη* y] *τεκμήριον δὲ τῆς τοῦ βασιλέως φιλανθρωπίας* z.
25 *δὲ* y] om. z.
25 *μέχρι* yAg] *μέχρις* p_1, *ἄχρι* l.
26 *σφέτερα* yl] *σφέτερ'* Agp_1.
p. 8, 3 *τελοῦσιν* z] om. y.
3—11 *τανῦν — τηλαυγές* y] om. z.
4 *ἡμῖν* V] om. l_1.
6 *αὐτὰς* Hoesch.] *αὐτὰ* y.
10 *ἀρχομένου* Dind.] *ἀρχομένῳ* y.
12 *συρφετὸς* VAgp_1] *συφερτὸς* l, *συρφετώδης* l_1 (coniectura).

12—19 Ἰουστινιανῷ — ἐτόλμησαν y] ἐμπρῆσαι τὴν τῶν χριστιανῶν ἐκκλησίαν ἐτόλμησε z.
14 ἀπαρακαλύπτως Hoesch.] ἀπαρακαλήπτως y.
19—20 ἐπικαιριώτατα yAl] ἐπὶ τὰ καιριώτατα gp_1.
21 δὲ y] om. z.
22 τι scripsi] ἐς τὸ y, om. z.
22 κάλλος yAgp_1] κάλλους l.
24 βασιλεὺς δὲ ἰουστινιανὸς y] ἰουστινιανὸς δὲ z.
24 ἀποτετόρνευται y] ἀποτετόρευται z.
24 οὐ yAlp_1] om. g.
p. 9, 1—22 εἰ τῶν — ἔσχε y] cf. app. crit. ad h. l., quae exhibet A, ea inveniuntur ipsa quoque in ceteris codd. familiae z; paucae sunt lectiones variae, velut μηχανώτατον pro μηχανικώτατον gp_1, τὸν μιλήσιον] τὸν om. l.
4 εὔξασθαι] cf. app. crit., quae in V adnotata sunt (desunt in l_1), fluxerunt ex codice familiae z.
6 ὁ μὲν] hinc incipit L.
19 τοῦ L] om. y.
p. 10, 5 ὑπερκειμένη yL] ἐπικειμένη z.
5 πόλει yLAlg] om. p_1.
5 μὲν yLAl] δὲ gp_1.
8 αὐτῆς yL] αὐτῇ z.
9 ἀποτετόρνευται yL] ἀποτετόρευται z.
16 ἔξωθεν yLAgp_1] ἔξω l.
18 περικέχυται yL] διακέχυται z.
20 ἱερουργοῦσι yLAl] ἱερουργῶσι gp_1.
21—23 ἐκ γῆς — τε yL] om. z.
24—25 οἱ — ὀνομάζουσιν yL] ἡμικύλινδρον ὀνομάζουσιν οἱ ταῦτα σοφοὶ z.
26 τοῦ ἔργου yLAgl] om. p_1.
p. 11, 1 προσεχέσι yL] προσέχουσι z.
3 πη yz] ποι L.
6—17 οὐδὲ — ἔχοντες yL] om. z.
7—8 ἡμίκυκλον y] ἡμικύκλιον L.
9 οἰκοδόμημα VL] οἰκονόμημα l_1 pr. m., οἰκοδόμημα l_1 rec. m. corr.

9 ἀποκρέμαται y] ἀποκεκρέμασται L.
9 μηνοειδὲς VL] μονοειδὲς l_1.
9—10 τοῦ δὲ δὴ ἱεροῦ κατ' ἀντικρὺ Hoesch.] τοῦ δὲ δὴ ἔω οὐ καταντικρὺ y, τοῦ δὲ δὴ νεὼ οὐκ ἀντικρὺ L.
17 πεποίηνται δὲ οἱ λόφοι yL] λόφοι δὲ z.
18 μὲν yL] om. z.
18 συνειλεγμένοις yL] συνειλεγμένοι z.
18 ἐς ἀλλήλους z] ἐπ' ἀλλήλοις yL, γρ. ἐς ἀλλήλους πρὸς τῶν λιθολόγων ἐπισταμένως V in marg.
18 δὲ yL] τε z.
19 ἐναρμοσθεῖσιν yL] ἐναρμοσθέντες z.
19 μέγα yL] μέγα ἱκνοῦνται z.
22—24 καὶ — ᾐώρηται yL] om. z.
22 τὰ μὲν y] μὲν τὰ L.
23 ἠρήρεισται y] ἐρήρεισται L.
p. 12, 2 κίονας yL] κίονας τινὰς z.
2 μικροὺς LAl] μικροῦ gp_1, μακροὺς y.
5—7 ὑπεραίρει — δὴ yL] om. z.
6 ἐξεπίτηδες L] ἐξεπιπητηδες y.
7 τὸ yL] τὸ γοῦν z.
8 διαρκῶς ἀγωγοὺς yL] ἀγωγοὺς διαρκῶς z.
9 εἶναι yL] om. z.
10—19 τῶν — εὐπρόσωπον yL] om. z.
12 ἀποτετέλεσται y] τετέλεσται L.
19 αὐτὸ V] αὐτῇ l_1L.
19—21 δὲ — οἰκοδομίας y, γὰρ διὰ τὸ παρειμένον τῆς οἰκοδομίας οὐκ ἐπὶ γῆς z, διὰ — οἰκοδομίας om. L; quae omisit L, videntur ex cod. familiae z in cod. y margini adscripta fuisse.

Haec iam satis sint!

In editione Maltretiana unus index nominum libris de bellis additus erat, alter libris de aedificiis, tertius historiae arcanae; hos tres indices multo cum labore in unum contuli, emendavi, auxi scripsique indicem Graecitatis.

Iam maxima perfusus sum laetitia, quod opus ante hos viginti annos susceptum nunc denique ad finem perduxi. Nam multae difficultates erant obiectae, quas haud facile omnes

superassem, nisi nonnulli viri doctissimi favissent studiis meis. Inter quos eminent socii Academiae regiae Bavaricae, qui summa liberalitate et praemium Zographicum et octingentos nummos mihi subministraverunt, quorum sescenti, cum copiosiores indices nisi magna impensa typis imprimi non possent, bibliopolae persolvebantur. Amicus meus carissimus A. Wahler non solum omnes locos in indice nominum citatos examinavit et menda scripturae sustulit, sed etiam mecum desudavit et laboravit in plagulis corrigendis. Benignissimus professor Hieron. Vitelli, et reverendissimus bibliothecae Vaticanae praefectus Fr. Ehrle, comissime nonnullos locos codicis L et codicis V iterum contulerunt. Quibus viris clarissimis omnibus gratias iustas ago debitasque.

ΠΡΟΚΟΠΙΟΥ ΡΗΤΟΡΟΣ ΤΟΥ ΚΑΙΣΑΡΕΩΣ ΠΕΡΙ ΤΩΝ ΤΟΥ ΔΕΣΠΟΤΟΥ ΙΟΥΣΤΙΝΙΑΝΟΥ ΚΤΙΣΜΑΤΩΝ.

ARGVMENTA.

EX EDITIONE MALTRETI.

I.

Auctoris praefatio. De sancta Sophia. (*Cap.* 1.) *Equestris statua Iustiniani in foro Augustaeo. Templum S. Irenes. Xenodochium Samsonis et alia duo.* (2.) *Deiparae virgini sacrae aedes in Blachernis, apud fontem in Heraeo. Templa S. Annae, S. Zoës Martyris, Michaelis archangeli.* (3.) *Templum SS. Petri et Pauli ad regiam Hormisdae. Templum SS. Sergii et Bacchi. Templum SS. Apostolorum: in eo sepulcra impp. inventio corporum SS. Andreae, Luca, Timothei. Alia quaedam templa.* (4.) *Quomodo mare Byzantium ambiat.* (5.) *Aedificia in sinu Ceras, nimirum templa S. Laurentii, deiparae in Blachernis, SS. Prisci et Nicolai, SS. Cosmae et Damiani, S. Anthimi Martyris.* (6.) *In eodem sinu templum S. Irenes. Inventis ibi reliquiis SS. quadraginta militum martyrum, Iustinianus mirifice sanatur.* (7.) *Templum Michaelis archangeli in Anaplo. Ioannis Baptistae in hebdomo. Alterum Michaelis archangeli templum in Asiae litore: itemque deiparae aedes.* (8). *Sublatis lenonibus, regia quaedam, mutata in monasterium, meretricibus paenitentibus destinatur ac dicitur Paenitentia. Templum S. Panteleemonis in promuntorio. Nosocomium in Argyronio. Templum archangeli in*

Mochadio: S. Tryphonis, SS. Mena et Menai, S. Iae. (9.) *Alia aedificia: in primis curia et chalce.* (10.) *Atrium ad thermas Arcadianas, statua Theodorae. Cisternae. Palatia in Heraeo et in Iucundianis. Portus. Xenodochia.* (11.)

II.

Urbem Daram ab Anastasio Aug. conditam in Mesopotamia Iustinianus munit. (Cap. 1.) *Urbi Darae provisa aquae copia. Eventu mirabili aucta fluminis opportunitas.* (2.) *Chrysae machinario obiecta per somnum species aggeris opponendi fluvio, qui Daram interluit. Idem in mentem venit Iustiniano Augusto. Cetera ipsius eadem in urbe aedificia. Firmata urbis Amidae moenia.* (3.) *Rhabdii situs. Locum hunc Iustinianus moenibus circumdat, et castella Daram inter et Amidam vel instaurat vetera, vel nova condit.* (4.) *Instaurati muri Theodosiopolis ad flumen Aborrham sitae. Quid actum Constantinae.* (5.) *Circesium a Diocletiano conditum, a Iustiniano munitum atque ornatum. Annucas et circumiecta Theodosiopoli castella instaurata.* (6.) *Edessae provisum adversus fluvii Scirti inundationes. Eiusdem urbis, itemque Callinici et Carrarum moenia reparata.* (7.) *In Euphratesiae solitudine castellum Mambri urbemque Zenobiam Iustinianus optime communit.* (8.) *Sura, Sergiopolis, castella quaedam, inprimis Hemerium: item Hierapolis, Zeugma, Neocaesarea, oppida Euphratesiae muniuntur.* (9.) *Antiochiam a Chosroë excisam instaurat, munit, ornatque imp. Iustinianus.* (10.) *Reparati Chalcidis muri: instaurata Cyrus: Palmyra communita.* (11.)

III.

Quos Armenia reges habuerit. Regni divisi portio Romanae ditioni adiuncta. In ea Comes, ac deinde sub Iustiniano magister militum. Armeniae Romanis subditae partem satrapae moderantur. Eorum insignia. Exauctorati quidam satrapae a Zenone Aug., sublati omnes a Iustiniano; atque in eorum locum suffecti duces. (Cap. 1.) *Capta a Cabade Martyropolis, Anastasii principatu: deinde a Iustiniano egregie munita.* (2.) *Iustinianus in Sophanene Citharizon munit; in Asthianene castellum condit ad Citharizum; in Chorzane Artaleson moenibus circumdat.* (3.) *Firmati Satalae muri: reparata Colonia: Castellorum vel aedificatio nova, vel instauratio: monasteriorum item ac sacrarum aedium. Perfecta Melitenes moenia.* (4.) *Firmata Theodosiopolis: condita Iustiniana.* (5.) *Tzanorum mores, sedes, ad Christum conversio. Exstructa apud illos aedificia.* (6.) *Iustiniani aedificia a Trapezunte ad urbem Bosporum: indeque ad urbem Anchialum.* (7.)

IV.

Praefatio. Tauresium Iustiniani Aug. patria. Iustiniana prima ac secunda. Iustinopolis. Multarum Illyrici urbium refecti muri. Exstructa passim castella. Iustinianopolis in Epiro. Euroea. (Cap. 1.) *Thermopylae urbesque Graeciae complures munitae.* (2.) *Quid actum circa urbes Thessaliae et Macedoniae.* (3.) *Catalogus castellorum, quae Iustinianus vel condidit, vel renovavit in utraque Epiro, Macedonia, Thessalia, Dardania, omnibusque Illyrici partibus mediterraneis.* (4.) *Ad oram Danubii quales olim munitiones. Dacia Ripensis. Singedon. Octavum. Viminacium.* (5.) *Munita a Iustiniano ripa Danubii ab urbe Viminacio ad Thraciam usque.* (6.) *Cetera Iustiniani aedificia ad Danubium.* (7.) *Via a Strongylo cast. ad Rhegium munita. Pons ad Myrmecem. In urbe Athyra cisternae. Castellum ad Episcopia.* (8.) *Provisum longis muris et Heracleae. Urbs condita ad Rhaedestum.* (9.) *In Cherroneso muri longi refecti. Urbes Aphrodisias, Ciberis, Callipolis moenibus cinctae. Castella condita.* (10.) *Aenus munitur. Ex Belluro pago fit urbs. Cura adhibita Traianopoli, Maximianopoli aliisque urbibus. Castellorum catalogus.* (11.)

V.

Ephesi templum S. Ioannis Evangelistae. In insula Tenedo horrea. (Cap. 1.) *Helenopoli et ad fluvium Draconem acta.* (2.) *Quid reparatum Nicaeae ac Nicomediae. Pons Sangari impositus. Via munita. Pythia palatio, balneis, ac templo ornata.* (3.) *In Galatia fluvius Siberis ponte iunctus, et Iuliopolis contra amnem munita. In Cappadocia muri Caesareae in meliorem*

formam redacti, et Mocesus facta Metropolis. (4.) Via montibus praecisis laxata. Mopsuestiae Adanaeque pontes reparati. Tarso provisum adversus flumen Cydnum. (5.) Hierosolymis templum deiparae magnificentissimum. (6.) Mons Garizim summo in honore apud Samaritanos. Eorum seditio. Christi praedictio a Zenone Aug. impleta. Mulctati ab Anastasio Samaritani. Iustinianus Garizim munit, et incensa templa restaurat. (7.) Templum monachis in monte Sina exstructum. Castellum ad montis eiusdem radices positum. (8.) Instaurata in Oriente monasteria, templa, ptochia, etc. (9.)

VI.

Alexandriae munita Phiala. Nilus Asiam ab Africa separat. Quid actum Taphosiri. (Cap. 1.) Paratonium et Antipyrgus. Teuchria, Berenice, Ptolemais, Borium, utraque Augila. (2.) Syrtis maior. Tripolis. Mauri Pacati. (3.) Leptis magna a Iustiniano munita atque ornata. Oblatum ibi Mauris prodigium. Gadabitani Christi fidem amplectuntur. Syrtis minor. (4.) Carthago dicta Iustiniana, et Vaga Theodorias. Quid in utraque urbe imperator aedificaverit. (5.) Muris cincta a Iustiniano Adrumetus, Iustiniana dicitur. Nova urbs condita ad Caputvada, ubi fons mirabiliter eruperat, appulsa illuc imperatoris classe. Byzacii quaedam urbes munitae. (6.) Urbes Numidiae, praecipue circa montem Aurasium, in Sardinia Traiani forum: ad Herculis columnas Septum Iustinianus moenibus cingit. (7.)

ΛΟΓΟΣ Α'.

α'. Οὐκ ἀρετῆς ἐπίδειξιν ποιεῖσθαι ἐθέλων, οὐδὲ λόγου
δυνάμει θαρσῶν, οὐδὲ χωρίων ἐπὶ τῇ ἐμπειρίᾳ φιλοτι- P 2
μούμενος, ἐς τῆσδε τῆς ἱστορίας τὴν γραφὴν ὥρμηκα·
ἐπεὶ οὐκ εἶχον οὐδὲν ὑφ' οὗ ἂν παρρησίας ἐς τόδε ἀγοί-
μην. ἀλλά μοι πολλάκις ἔννοια γέγονεν ὁπόσων τε καὶ 2
πηλίκων ἀγαθῶν αἴτιον ἱστορία ταῖς πόλεσι γίνεσθαι
εἴωθε, παραπέμπουσά τε εἰς τοὺς ἐπιγόνους τῶν προγε-
γενημένων τὴν μνήμην, καὶ ἀνταγωνιζομένη τῷ χρόνῳ
κρυφαῖα ποιεῖσθαι διατεινομένῳ τὰ πράγματα, καὶ τὴν
μὲν ἀρετὴν εὐφημίαις ἀεὶ τῶν ἀναλεγομένων αὐτὴν ἐπαί-
ρουσα, τῆς δὲ κακίας, ἐπιλαμβανομένη διηνεκές, ταύτῃ
τε ἀποκρουομένη τὴν αὐτῆς δύναμιν. τούτου οὖν δὴ μό- 3
νου ἐπιμελητέον ἡμῖν, ὅπως δὴ ἔνδηλα τὰ πεπραγμένα
διαφανῶς ἔσται καὶ ὑφ' ὅτου ἐργασθείη τῶν πάντων
ἀνθρώπων. ταῦτα δέ, οἶμαι, οὐδὲ γλώσσῃ τραυλιζούσῃ
τε καὶ ἰσχνοφώνῳ οὔσῃ ἀμήχανά ἐστι. χωρὶς δὲ τούτων 4
εὐγνώμονας μὲν ἱστορία ἐς τοὺς εὐεργέτας ἐνδείκνυται
γεγονέναι τῶν ἀρχομένων τοὺς εὖ πεπονθότας, ἐν μείζοσι
δὲ αὐτοῖς ἐκτετικέναι τὰ χαριστήρια, οἵ γε, ἂν οὕτω τύ-
χοι, ἐπὶ καιροῦ μὲν τῆς ἀγαθοεργίας τῶν ἐν σφίσιν ἡγησα-
μένων ἀπώναντο, ἀθάνατον δὲ αὐτοῖς τῶν εἰς τὸ ἔπειτα
ἐσομένων τῇ μνήμῃ τὴν ἀρετὴν διασώζουσι. διὰ ταῦτα 5
γὰρ καὶ τῶν ἐπιγινομένων πολλοὶ ἀρετῶσι μὲν τὰς τῶν

2 θαρρῶν A. 6 ἀγαθὸν A. 9 διατεινομένω V] διατεινομένω A.

προγεγενημένων ζηλοῦντες τιμάς, ἐς δὲ τὰς βλασφημίας
B 171 χαλεπῶς ἔχοντες τῶν ἐπιτηδευμάτων τὰ πονηρότατα, ὡς
τὸ εἰκός, ἀναδύονται. ὅτου δὲ δὴ ἕνεκα ταῦτα ὑπεῖπον
αὐτίκα δηλώσω.
6 Ἐν χρόνῳ τῷ καθ' ἡμᾶς Ἰουστινιανὸς ὁ βασιλεὺς γέ-
γονεν, ὃς τὴν πολιτείαν πλημμελῶς κινουμένην παρα-
λαβὼν μεγέθει μὲν αὐτὴν μείζω τε καὶ πολλῷ ἐπιφανε-
στέραν εἰργάσατο, ἐξελάσας ἐνθένδε τοὺς ἐκ παλαιοῦ
βιασαμένους αὐτὴν βαρβάρους, ὥσπερ μοι λεπτολογου-
7 P 3 μένῳ ἐν τοῖς ὑπὲρ τῶν πολέμων δεδήλωται λόγοις. καί-
τοι λέγουσί ποτε Θεμιστοκλέα τὸν Νεοκλέους ἀποσε-
μνύνεσθαι ὅτι δὴ οὐκ ἀνεπιστημόνως ἔχοι πόλιν μικρὰν
8 ποιῆσαι μεγάλην. ὁ δὲ δὴ οὐκ ἀμελέτητός ἐστιν ἐμπο-
ρίζεσθαι πολιτείας ἑτέρας. πολλὰς ἀμέλει προσεποίησεν
ἤδη τῇ Ῥωμαίων ἀρχῇ ἀλλοτρίας καθ' αὑτὸν οὔσας, πό-
λεις δὲ ἀναρίθμους δεδημιούργηκεν οὐ πρότερον οὔσας.
9 πλανωμένην δὲ εὑρὼν τὴν ἀμφὶ τῷ θεῷ δόξαν τὰ πρό-
τερα ἐς πολλά τε ἀναγκαζομένην ἰέναι, συντρίψας ἁπά-
σας τὰς ἐπὶ τὰς πλάνας φερούσας ὁδούς, διεπράξατο ἐν
10 τῷ βεβαίῳ τῆς πίστεως ἐπὶ μιᾶς ἑστάναι κρηπῖδος. πρὸς
δὲ καὶ τοὺς νόμους λαβὼν τῷ τε παμπληθεῖς οὐ δέον
γεγονέναι σκοτεινοὺς ὄντας καὶ ξυγχεομένους διαφανῶς
τῷ ἀπ' ἐναντίας ἀλλήλοις ἰέναι, καὶ τοῦ μὲν ὄχλου
αὐτοὺς τῆς τερθρείας ἀποκαθάρας, τὸ δὲ [τῷ] ἐς ἀλλή-

5 ὁ V] om. A. 5—7 γέγονεν — παραλαβὼν] παραλαβὼν τὴν πολιτείαν πλημμελῶς κινουμένην A. 10 ἐν — λόγοις V] ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται A. 11 Νεοκλέους Hoesch.] νικοκλέους V, Procopius videtur hic erravisse. 12 μικρὰν Hoesch. in notis] μὴ V. 13—14 ἐμπορίζεσθαι] scribendum est ἐκπορίζεσθαι. 15—16 πόλεις δὲ V] καὶ γὰρ πόλεις A. 17 δὲ εὑρὼν V] δ' ἐφευρὼν A. δόξαν τὰ V] δόξαντα A. 18 συντρίψας A] συντρίζας V. 18—19 ἁπάσας V] πάσας A. 24 τῷ V] del. Maltr.

λους διχοστατεῖν βεβαιότατα κρατυνόμενος διεσώσατο,
καὶ τοῖς μὲν ἐπιβουλεύουσιν αὐτεπάγγελτος τὰς αἰτίας
ἀφεὶς, τοὺς δὲ βίου δεομένους πλούτῳ πεποιημένος κατα-
κορεῖς καὶ τύχην αὐτοῖς τὴν ἐπηρεάζουσαν βιασάμενος,
εὐδαίμονι βίῳ τὴν πολιτείαν ξυνῴκισεν. ἀλλὰ καὶ βαρ- 11
βάροις πανταχόθεν ὑποκειμένην τὴν Ῥωμαίων ἀρχὴν B 172
στρατιωτῶν τε πλήθει ἐπέρρωσε καὶ ὀχυρωμάτων οἰκοδο-
μίαις ἁπάσας αὐτῆς τὰς ἐσχατιὰς ἐτειχίσατο. ἀλλὰ τῶν μὲν 12
ἄλλων τὰ πλεῖστα ἐν ἑτέροις μοι συγγέγραπται λόγοις,
ὅσα δὲ αὐτῷ ἀγαθὰ οἰκοδομουμένῳ δεδημιούργηται, ἐν τῷ
παρόντι γεγράψεται. ἄριστον μὲν δὴ βασιλέα γεγονέναι
Κῦρον τὸν Πέρσην φασίν, ὧν ἀκοῇ ἴσμεν τοῖς τε ὁμο-
γενέσιν αἰτιώτατον τῆς βασιλείας. εἰ δὲ τοιοῦτός τις 13
ἦν ὁ Κῦρος ἐκεῖνος οἷος δὴ ὑπὸ Ξενοφῶντι τῷ Ἀθη- P 4
ναίῳ παιδεύεται, οὐκ ἔχω εἰδέναι. τάχα γάρ που καὶ 14
ἡ τοῦ γεγραφότος αὐτὰ δεξιότης κεκομψευμένη δυνάμει
τοῦ λόγου ἐγκαλλώπισμα τῶν ἔργων γενέσθαι διαρκῶς
ἴσχυσε. τοῦ δὲ καθ' ἡμᾶς βασιλέως Ἰουστινιανοῦ (ὃν δὴ 15
καὶ φύσει βασιλέα καλῶν τις, οἶμαι, ὀρθῶς ἂν εἴποι, ἐπεὶ
καὶ πατὴρ ὣς ἤπιός ἐστι, καθ' Ὅμηρον) εἴ τις ἐς τὸ ἀκρι-
βὲς τὴν βασιλείαν διασκοποῖτο, παιδιάν τινα τὴν Κύρου
ἀρχὴν οἰήσεται εἶναι. τεκμηριώσει δὲ τὸ τοιοῦτο ἡ μὲν 16
πολιτεία πρὸς αὐτοῦ, ἧπέρ μοι ἔναγχος εἴρηται, τῇ τε
χώρᾳ καὶ τῇ ἄλλῃ δυνάμει πλεῖν ἢ διπλασία γεγενημένη,
οἱ δὲ τὴν ἐπιβουλὴν αὐτῷ σκαιωρησάμενοι μέχρι ἐς φόνον
μὴ ὅτι βιοτεύοντες ἐς τόδε τοῦ χρόνου καὶ τὰ σφέτερα

20 cf. Odyss. II 47. XV 152.

11 γεγράψεται Maltr.] γέγραπται V. γεγονέναι om. A 12 Κῦρον — ἴσμεν] τὸν πέρσην κῦρον V. ὧν] ὃν A. 13 βασιλείας A] βασιλείας ἀκοῇ ἴσμεν V. 18—24 τοῦ δὲ — γεγενημένη] τεκμήριον δὲ τῆς τοῦ βασιλέως φιλανθρωπίας A. 25 δὲ V] om. A. μέχρι V. 26 σφέτερ' A.

αὐτῶν ἔχοντες, καίπερ ἐξεληλεγμένοι διαφανῶς, ἀλλὰ καὶ
στρατηγοῦντες Ῥωμαίων ἔτι καὶ ἐς τὸ τῶν ὑπάτων ἀνα-
17 γεγραμμένοι τελοῦσιν ἀξίωμα. τανῦν δέ, ὅπερ εἶπον, ἐπὶ
τὰς οἰκοδομίας τούτου δὴ τοῦ βασιλέως ἡμῖν ἰτέον, ὡς
μὴ ἀπιστεῖν τῷ τε πλήθει καὶ τῷ μεγέθει ἐς τὸν ὄπισθεν
χρόνον τοῖς αὐτὰς θεωμένοις ξυμβαίη, ὅτι δὴ ἀνδρὸς ἑνὸς
18 B 173 ἔργα τυγχάνει ὄντα. πολλὰ γὰρ ἤδη τῶν προγεγενημέ-
νων οὐκ ἐμπεδωθέντα τῷ λόγῳ τῷ ὑπερβάλλοντι τῆς
ἀρετῆς ἄπιστα γέγονεν. εἴη δ' ἂν εἰκότως τὰ ἐν Βυζαντίῳ
19 παρὰ πάντα τῷ λόγῳ κρηπίς. ἀρχομένου γὰρ ἔργου, κατὰ
δὴ τὸν παλαιὸν λόγον, πρόσωπον χρὴ θέμεναι τηλαυγές.
☐ 20 P 5 Ἄνδρες ἀγελαῖοί ποτε καὶ ὁ συρφετὸς [ὄχλος] Ἰουστι-
νιανῷ βασιλεῖ ἐν Βυζαντίῳ ἐπαναστάντες τὴν Νίκα κα-
λουμένην στάσιν εἰργάσαντο, ἥπέρ μοι ἀπαρακαλύπτως
ἀκριβολογουμένῳ ἐν τοῖς ὑπὲρ τῶν πολέμων δεδιήγηται
21 λόγοις. ἐνδεικνύμενοι δὲ ὡς οὐκ ἐπὶ τὸν βασιλέα μόνον,
ἀλλ' οὐδέν τι ἧσσον ἐπὶ τὸν θεὸν ἅτε ἀποφράδες τὰ ὅπλα
ἀντῆραν, ἐμπρῆσαι τῶν Χριστιανῶν τὴν ἐκκλησίαν ἐτόλ-
μησαν (Σοφίαν καλοῦσιν οἱ Βυζάντιοι τὸν νεὼν ἐπικαι-
ριώτατα τῷ θεῷ τὴν ἐπωνυμίαν ἀπεργασάμενοι), ἐπεχώρει
δὲ αὐτοῖς ὁ θεὸς διαπράξασθαι τὸ ἀσέβημα, προειδὼς εἰς
22 ὅσον τι κάλλος τοῦτο τὸ ἱερὸν μεταστήσεσθαι ἔμελλεν. ἡ
μὲν οὖν ἐκκλησία ἐξηνθρακωμένη τότε ξύμπασα ἔκειτο.
βασιλεὺς δὲ Ἰουστινιανὸς τοιαύτην ἀποτετόρνευται οὐ

11 παλαιὸν λόγον] Pindari Olymp. 6, 4   15 cf. I 123, 6
19 Theoph. I 181, 28. Mal. 474, 18. Cedren. I 647, 13. Chron.
Pasch. I 621, 21. Zonar. III 272. Niceph. Call. XVII 10.

3 τελοῦσιν A] om. V   6 αὐτὰς Hoesch.] αὐτὰ V   10 ἀρχομέ-
νου Dind.] ἀρχομένω V.   12 ὄχλος codd.] inclusi.   14 ἀπαρα-
καλύπτως Hoesch.] ἀπαρακαλήπτως V.   18 τὴν τῶν χριστιανῶν
ἐκκλ. A.   18—19 ἐτόλμησε A.   21 δὲ V] om. A.   22 τι scripsi]
ἐς τὸ V, om. A.   23—24 βασιλεὺς δὲ ἰουστινιανὸς V] ἰουστι-
νιανὸς δὲ A.   24 ἀποτετόρευται A.

πολλῷ ὕστερον ὥστε, εἰ τῶν Χριστιανῶν τις ἐπύθετο πρό-
τερον εἰ βουλομένοις αὐτοῖς διολωλέναι τὴν ἐκκλησίαν εἴη
καὶ τοιάνδε γενέσθαι, δείξας τι αὐτοῖς τῶν νῦν φαινομέ-
νων ἐκτύπωμα, δοκοῦσιν ἄν μοι ὡς συντομώτατα εὔξασθαι
πεπονθυῖαν σφίσι τὴν ἐκκλησίαν θεάσασθαι, ὅπως δὴ
αὐτοῖς ἐς τὸ παρὸν μεταβάλοιτο σχῆμα. ὁ μὲν οὖν βα- 23
σιλεὺς ἀφροντιστήσας χρημάτων ἁπάντων ἐς τὴν οἰκο-
δομὴν σπουδῇ ἵετο, καὶ τοὺς τεχνίτας ἐκ πάσης γῆς ἤγει- B 174
ρεν ἅπαντας. Ἀνθέμιος δὲ Τραλλιανός, ἐπὶ σοφίᾳ τῇ 24
καλουμένῃ μηχανικῇ λογιώτατος, οὐ τῶν κατ' αὐτὸν μό-
νον ἁπάντων, ἀλλὰ καὶ τῶν αὐτοῦ προγεγενημένων πολλῷ,
τῇ βασιλέως ὑπούργει σπουδῇ, τοῖς τεκταινομένοις τὰ
ἔργα ῥυθμίζων, τῶν τε γενησομένων προδιασκευάζων
ἰνδάλματα, καὶ μηχανοποιὸς σὺν αὐτῷ ἕτερος, Ἰσίδωρος
ὄνομα, Μιλήσιος γένος, ἔμφρων τε ἄλλως καὶ πρέπων
Ἰουστινιανῷ ὑπουργεῖν βασιλεῖ. ἦν δὲ ἄρα καὶ τοῦτο 25
τῆς τοῦ θεοῦ περὶ τὸν βασιλέα τιμῆς, προκαταστησαμέ-
νου τοὺς ἐς τὰ πραχθησόμενα χρησιμωτάτους αὐτῷ ἐσο-
μένους. καὶ αὐτοῦ δὲ τοῦ βασιλέως τὸν νοῦν εἰκότως 26
ἄν τις ἀγασθείη τούτου δὴ ἕνεκα, ὅτι δὴ ἐκ πάντων ἀν-
θρώπων ἐς τῶν πραγμάτων τὰ σπουδαιότατα τοὺς και-
ριωτάτους ἀπολέξασθαι ἔσχε.

1—22 εἰ τῶν — ἔσχε] εἰ πρότερόν τις ἐπύθετο δείξας τι τῶν νῦν φαινομένων ἐκτύπωμα, εὔξασθαι ἂν διολωλέναι ταύτην, ὅπως ἐς τὸ παρὸν μεταβεβλημένην σχῆμα θεάσαιτο. τούς τε γὰρ τεχνίτας ὁ βασιλεὺς ἐκ πάσης γῆς ἤγειρεν ἅπαντας. ἀνθέμιον τραλλιανὸν ἐπὶ σοφία τῇ καλουμένῃ μηχανικῇ μηχανικώτατον οὐ τῶν καθ' ἑαυτὸν μόνων, ἀλλὰ καὶ τῶν αὐτοῦ προγεγενημένων σπουδῇ τοῖς τεκταινομένοις τὰ ἔργα ῥυθμίζειν, τῶν τε γενησομένων προδιασκευάζειν ἰνδάλματα. ἰσίδωρόν τε τὸν μιλήσιον μηχανοποιόν A.   4 εὔξασθαι] in V adnotatum est in marg. εὔξασθαι ἂν διολωλέναι ταύτην, ὅπως ἐς τὸ παρὸν μεταβεβλημένην σχῆμα θεάσαιτο.   6 ὁ μὲν] hinc incipit L.   19 τοῦ L] om. V

27 Θέαμα τοίνυν ἡ ἐκκλησία κεκαλλιστευμένον γεγένηται,
τοῖς μὲν ὁρῶσιν ὑπερφυές, τοῖς δὲ ἀκούουσι παντελῶς
ἄπιστον· ἐπῆρται μὲν γὰρ ἐς ὕψος οὐράνιον ὅσον, καὶ
ὥσπερ τῶν ἄλλων οἰκοδομημάτων ἀποσαλεύουσα ἐπινέ-
P 6 νευκεν ὑπερκειμένη τῇ ἄλλῃ πόλει, κοσμοῦσα μὲν αὐτήν,
ὅτι αὐτῆς ἐστιν, ὡραϊζομένη δέ, ὅτι αὐτῆς οὖσα καὶ ἐπεμ-
βαίνουσα τοσοῦτον ἀνέχει, ὥστε δὴ ἐνθένδε ἡ πόλις ἐκ
28 περιωπῆς ἀποσκοπεῖται. εὖρος δὲ αὐτῆς καὶ μῆκος οὕτως
ἐν ἐπιτηδείῳ ἀποτετόρνευται, ὥστε καὶ περιμήκης καὶ
ὅλως εὐρεῖα οὐκ ἀπὸ τρόπου εἰρήσεται. κάλλει δὲ ἀμυ-
29 θήτῳ ἀποσεμνύνεται. τῷ τε γὰρ ὄγκῳ κεκόμψευται καὶ
τῇ ἁρμονίᾳ τοῦ μέτρου, οὔτε τι ὑπεράγαν οὔτε τι ἐν-
B 175 δεῶς ἔχουσα, ἐπεὶ καὶ τοῦ ξυνειθισμένου κομπωδεστέρα
καὶ τοῦ ἀμέτρου κοσμιωτέρα ἐπιεικῶς ἐστι, φωτὶ δὲ καὶ
30 ἡλίου μαρμαρυγαῖς ὑπερφυῶς πλήθει. φαίης ἂν οὐκ
ἔξωθεν καταλάμπεσθαι ἡλίῳ τὸν χῶρον, ἀλλὰ τὴν αἴγλην
ἐν αὐτῷ φύεσθαι, τοσαύτη τις φωτὸς περιουσία ἐς τοῦτο
31 δὴ τὸ ἱερὸν περικέχυται. καὶ τὸ μὲν τοῦ νεὼ πρόσωπον
(εἴη δ' ἂν αὐτοῦ τὰ πρός ἀνίσχοντα ἥλιον, ἵνα δὴ τῷ
θεῷ ἱερουργοῦσι τὰ ἄρρητα) τρόπῳ τοιῷδε δεδημιούργη-
32 ται. οἰκοδομία τις ἐκ γῆς ἀνέχει, οὐκ ἐπ' εὐθείας πε-
ποιημένη, ἀλλ' ἐκ τῶν πλαγίων ὑπεσταλμένη κατὰ βραχύ,
καὶ κατὰ τὰ μέσα ὑποχωροῦσα, ἐπὶ σχῆμά τε κατὰ ἥμισυ
τὸ στρογγύλον ἰοῦσα, ὅπερ οἱ περὶ τὰ τοιαῦτα σοφοὶ
ἡμικύλινδρον ὀνομάζουσιν, ἐς ὕψος ἀπότομον ἐπανέστηκεν.
33 ἡ δὲ τοῦ ἔργου τούτου ὑπερβολὴ ἐς σφαίρας τεταρτημό-
ριον ἀποκέκριται, ὕπερθέν τε μηνοειδές τι αὐτῇ ἕτερον

1 Euagr. IV 31. Cedren. I 650, 12. Marcell. Com. ad a. 537 (5).

5 ὑπερκειμένη VL] ἐπικειμένη A. 6 αὐτῆς VL] αὐτὴ A. 9 ἀποτετόρνευται A. 18 περικέχυται VL] διακέχυται A. 24 στρογγύλον LA] στρογκύλον V. 24—25 οἱ περὶ — ὀνομάζουσιν VL] ἡμικύλινδρον ὀνομάζουσιν οἱ ταῦτα σοφοὶ A.

τοῖς προσεχέσι τῆς οἰκοδομίας ἐπῆρται, τῇ μὲν εὐπρεπείᾳ
θαυμάσιον, τῷ δὲ σφαλερῷ τῆς συνθέσεως δοκοῦντι εἶναι
φοβερὸν ὅλως. δοκεῖ γάρ πη οὐκ ἐν βεβαίῳ ἐπηωρῆσθαι, 34
ἀλλ' ἐπικινδύνως τοῖς ἐνθάδε οὖσι μετεωρίζεσθαι. καί-
τοι διαφερόντως ἐν τῷ βεβαίῳ τῆς ἀσφαλείας ἐστήρικται.
τούτων δὲ δὴ ἐφ' ἑκάτερα κίονες ἐπ' ἐδάφους εἰσίν, οὐδὲ 35
αὐτοὶ κατ' εὐθὺ ἑστῶτες, ἀλλ' εἴσω κατὰ σχῆμα τὸ ἡμί-
κυκλον ὥσπερ ἐν χορῷ ἀλλήλοις ὑπεξιστάμενοι, καὶ αὐτῶν
ὑπεράνωθεν οἰκοδόμημα μηνοειδὲς ἀποκρέμαται. τοῦ δὲ 36
δὴ ἑῴου κατ' ἀντικρὺ τὰς εἰσόδους ἔχων ἐγήγερται τοῖχος,
καὶ αὐτοῦ ἑκατέρωθεν οἵ τε κίονες καὶ τὰ αὐτῶν ὕπερ-
θεν ὁμοιότατα τοῖς δεδηλωμένοις ἐν ἡμικύκλῳ ἑστήκασι.
κατὰ δὲ τὰ τοῦ νεὼ μέσα λόφοι χειροποίητοι ἐπανεστή- 37
κασι τέσσαρες, οὓς καλοῦσι πεσσούς, δύο μὲν πρὸς βορ- B 176
ρᾶν, δύο δὲ πρὸς ἄνεμον νότον, ἀντίοι τε καὶ ἴσοι ἀλλή-
λοις, κίονας ἐν μέσῳ ἑκάτεροι κατὰ τέσσαρας μάλιστα
ἔχοντες. πεποίηνται δὲ οἱ λόφοι λίθοις εὐμεγέθεσι σύν- 38
θετοι, λογάδην μὲν συνειλεγμένοις, ἐς ἀλλήλους δὲ πρὸς
τῶν λιθολόγων ἐπισταμένως ἐναρμοσθεῖσιν, ἐς ὕψος μέγα.
εἰκάσαις ἂν αὐτοὺς εἶναι σκοπέλους ὀρῶν ἀποτόμους.
ἐπὶ τούτοις δὲ ἁψῖδες τέσσαρες ἐν τετραπλεύρῳ ἀνέχουσι· 39
καὶ αὐτῶν τὰ μὲν ἄκρα ξύνδυο ξυνιόντα εἰς ἄλληλα ἐν
τῇ ὑπερβολῇ ἠρήρεισται τῶν λόφων τούτων, τὰ δὲ δὴ
ἄλλα ἐπηρμένα εἰς ἀπέραντον ὕψος ἠώρηται. τῶν δὲ 40
ἁψίδων αἱ μὲν δύο κατὰ κενοῦ τοῦ ἀέρος ἐπανεστήκασι

1 προσεχέσι VL] προσέχουσι A. 3 πη VA] ποι L. 7—8 ἡμικύκλιον L. 9 ἀποκεκρέμασται L. 9—10 τοῦ δὲ δὴ ἑῴου κατ' ἀντικρὺ Hoesch.] τοῦ δὲ δὴ ἕω οὐ καταντικρὺ V, τοῦ δὲ δὴ νεὼ οὐκ ἀντικρὺ L. 14 πεσσοὺς Maltr.] πεσοὺς VL 18 μὲν VL] om. A συνειλεγμένοις VL] συνειλεγμένοι A. ἐς ἀλλήλους A] ἐπ' ἀλλήλοις VL, γρ. ἐς ἀλλήλους V in marg δὲ VL] τε A. 19 ἐναρμοσθεῖσιν VL] ἐναρμοσθέντες A. μέγα VL] μέγα ἰχνοῦνται A. 22 τὰ μὲν VA] μὲν τὰ L. 23 ἐρήρεισται L.

□ πρὸς ἀνίσχοντά τε καὶ δύοντά που τὸν ἥλιον, αἱ δὲ λει-
Γ 7 πόμεναι οἰκοδομίαν τέ τινα καὶ κίονας μικροὺς κομιδῇ
41 ἔνερθεν ἔχουσιν. ὕπερθεν δὲ αὐτῶν κυκλοτερὴς οἰκοδο-
μία ἐν στρογγύλῳ ἐπῆρται· ὅθεν ἀεὶ διαγελᾷ πρῶτον ἡ
42 ἡμέρα. ὑπεραίρει γάρ, οἶμαι, τὴν γῆν ξύμπασαν, καὶ
διαλείπει τὸ οἰκοδόμημα κατὰ βραχύ, ἐξεπίτηδες παρει-
μένον τοσοῦτον, ὅσον τοὺς χώρους, οὗ δὴ τὸ διῃρημένον
τῆς οἰκοδομίας συμβαίνει εἶναι, φέγγους διαρκῶς ἀγωγοὺς
43 εἶναι. [ταῦτα δέ, οἶμαι, οὐδὲ γλώσσῃ τραυλιζούσῃ τε
καὶ ἰσχνοφώνῳ οὔσῃ ἀμήχανα ἔσται·] τῶν δὲ ἀψίδων
τῆς συμπλοκῆς ἐν τετραγώνῳ ἐξειργασμένης, ἐς τρίγωνα
44 τέσσαρα μεταξὺ τὸ ἔργον ἀποτετέλεσται. καὶ ἡ μὲν τρι-
γώνου ἑκάστη κρηπὶς πεπιεσμένη τῇ ἐς ἀλλήλας τῶν
ἀψίδων ἐνέρσει ὀξεῖαν ποιεῖται τὴν κάτω γωνίαν, συνα-
ναβαίνουσα δὲ τὸ λοιπὸν εὐρυνομένη τῇ μεταξὺ χώρᾳ
ἐς τὸ κυκλοτερὲς τελευτᾷ, ὃ ταύτῃ ἀνέχει, γωνίας τε τὰς λει-
45 πομένας ἐνταῦθα ποιεῖται. τούτου δὲ τοῦ κυκλοτε-
B 177 ροῦς παμμεγέθης ἐπανεστηκυῖά τις σφαιροειδὴς θόλος
46 ποιεῖται αὐτὸ διαφερόντως εὐπρόσωπον. δοκεῖ δὲ οὐκ
ἐπὶ στερρᾶς τῆς οἰκοδομίας [διὰ τὸ παρειμένον τῆς οἰκο-
δομίας] ἑστάναι, ἀλλὰ τῇ σφαίρᾳ τῇ χρυσῇ ἀπὸ τοῦ οὐρα-
47 νοῦ ἐξημμένη καλύπτειν τὸν χῶρον. ταῦτα δὲ πάντα ἐς
ἄλληλά τε παρὰ δόξαν ἐν μεταρσίῳ ἐναρμοσθέντα, ἔκ τε
ἀλλήλων ἠωρημένα καὶ μόνοις ἐναπερειδόμενα τοῖς ἄγ-

2 κίονας VL] κιονάς τινας A. μικροὺς LA] μακροὺς V. 6 ἐξεπίτηδες L] ἐξεπικήτηδες V 7 τὸ VL] τὸ γοῦν A. 8 ἀγωγοὺς διαρκῶς A. 8 εἶναι VL] om. A 9—10 ταῦτα — ἔσται delevi, cf. p. 5, 15—16. 12 ἀποτετέλεσται V] τετέλεσται L. 13 ἑκάστη VL] ἑκάστου Hoesch. in marg. 16 κυκλωτερὲς et infra κυκλωτεροῦς V. 19—20 δὲ οὐκ ἐπὶ στερρᾶς τῆς οἰκοδομίας διὰ τὸ παρειμένον τῆς οἰκοδομίας V. διὰ — οἰκοδομίας om. L, γὰρ διὰ τὸ παρειμένον τῆς οἰκοδομίας οὐκ ἐπὶ γῆς A, cf. infra cap. 4, 15. 21 σφαίρᾳ scripsi] σειρᾷ codd., cf. Zonar. III 282, 25. 22 ἐξημμένη LA] ἐξημμένον V.

χιστα οὖσι, μίαν μὲν ἁρμονίαν ἐκπρεπεστάτην τοῦ ἔργου
ποιοῦνται, οὐ παρέχονται δὲ τοῖς θεωμένοις αὐτῶν τινι
ἐμφιλοχωρεῖν ἐπὶ πολὺ τὴν ὄψιν, ἀλλὰ μεθέλκει τὸν ὀφ-
θαλμὸν ἕκαστον, καὶ μεταβιβάζει ῥᾷστα ἐφ' ἑαυτό. ἀγχι- 48
στροφός τε ἡ τῆς θέας μεταβολὴ ἐς ἀεὶ γίγνεται, ἀπολέ-
ξασθαι τοῦ ἐσορῶντος οὐδαμῇ ἔχοντος ὅ τι ἂν ποτε ἀγα-
σθείη μᾶλλον τῶν ἄλλων ἁπάντων. ἀλλὰ καὶ ὡς ἀπο- 49 □
σκοποῦντες πανταχόσε τὸν νοῦν, τάς τε ὀφρῦς ἐπὶ πᾶσι
συννενευκότες, οὐχ οἷοί τέ εἰσι ξυνεῖναι τῆς τέχνης, ἀλλ'
ἀπαλλάσσονται ἀεὶ ἐνθένδε καταπεπληγμένοι τῇ ἐς τὴν
ὄψιν ἀμηχανίᾳ. ταῦτα μὲν οὖν τῇδέ πῃ ἔχει.

Μηχαναῖς δὲ πολλαῖς βασιλεύς τε Ἰουστινιανὸς καὶ 50
Ἀνθέμιος ὁ μηχανοποιὸς σὺν τῷ Ἰσιδώρῳ οὕτω δὴ μετ-
εωριζομένην τὴν ἐκκλησίαν ἐν τῷ ἀσφαλεῖ διεπράξαντο
εἶναι· ὧνπερ τὰς μὲν ἄλλας ἁπάσας ἐμοὶ εἰδέναι τε ἄπο-
ρον καὶ λόγῳ φράσαι ἀμήχανον, μία δέ μοι μόνον ἕν γε
τῷ παρόντι γεγράψεται ᾗ δύναιτ' ἄν τις σύμπασαν τοῦ
ἔργου τεκμηριῶσαι τὴν δύναμιν. ἔχει γὰρ ὧδε. οἱ λό- 51
φοι, ὧνπερ ἐπεμνήσθην ἀρτίως, οὐ κατὰ ταὐτὰ ταῖς ἄλ-
λαις οἰκοδομίαις πεποίηνται, ἀλλὰ τρόπῳ τοιῷδε. λίθων 52
ἐπιβολὴ ἐν τετραγώνῳ διαπεπόνηται, σκληρῶν μὲν φύ- B 178
σιν, ἐργασίαν δὲ λείων, ἐντομὴν δέ, εἰ μὲν τὰ προὔχοντα
ποιεῖσθαι τῶν τοῦ λόφου πλευρῶν μέλλοιεν, ἐγγωνίων,
εἰ δὲ τὴν μεταξὺ κεκλήρωνται χώραν, ἐν τετραπλεύρῳ
γεγενημένων. συνήρμοσε δὲ αὐτοὺς οὐ τίτανος, ἥνπερ 53
ἄσβεστον ὀνομάζουσιν, οὐκ ἄσφαλτος, ἡ Σεμιράμιδος ἐν
Βαβυλῶνι φιλοτιμία, οὐκ ἄλλο τοιοῦτον οὐδέν, ἀλλὰ μό-

5—7 ἀπολέξασθαι — καὶ ὡς VL] οὐ γάρ ἐστιν ἀπολέξασθαι τοὺς ἐσορῶντας, ὅτι ἂν ποτε ἀγασθεῖεν μᾶλλον τῶν ἄλλων, ἀλλ' A. 7—8 ἀποσκοποῦντες] malim ἀποστρέφοντες. 10 ἀεὶ VL] ταχὺ A. 17 δύναιτ' Dind.] δύναται VL. 22 ἐντομὴν V] ἐκτομὴν L et edd., cf. tamen p. 17, 18.

P 8 λιβδος ἐς τέλμα χυθείς, καὶ μεταξὺ πανταχόσε χωρήσας,
τῶν τε λίθων τῇ ἁρμονίᾳ ἐντετηκὼς καὶ συνδέων ἀλλή-
λοις αὐτούς. τοῦτο μὲν οὖν ταύτῃ ἐξείργασται. ἐπὶ τὰ
λειπόμενα δὲ τοῦ νεὼ ἴωμεν. χρυσῷ μὲν ἀκιβδήλῳ κατ-
αλήλειπται ἡ ὀροφὴ πᾶσα, κεραννῦσα τὸν κόμπον τῷ
κάλλει, νικᾷ μέντοι ἡ ἐκ τῶν λίθων αὐγὴ ἀνταστράπ-
55 τουσα τῷ χρυσῷ. στοαί τέ εἰσιν ἑκατέρωθι δύο, οἰκοδο-
μίᾳ μὲν τοῦ νεὼ οὐδεμιᾷ διειργόμεναι, ἀλλὰ καὶ μεῖζον
αὐτοῦ ποιοῦσαι τοῦ εὔρους τὸ μέτρον, καὶ τῷ μήκει μέ-
χρι ἐς τὸ πέρας συνεξικνούμεναι, τὸ δέ γε ὕψος [καὶ]
56 καταδεέστεραι. καὶ αὐταῖς δὲ ἥ τε ὀροφὴ θόλος καὶ ὁ
χρυσὸς ἐγκαλλώπισμα. ταύταιν δὲ ταῖν στοαῖν ἀτέρα μὲν
τοὺς ἄνδρας εὐχομένους διακεκλήρωται, γυναιξὶ δὲ ταὐτὸ
57 ποιουμέναις ἡ ἄλλη ἀνεῖται. παραλλὰξ δὲ οὐδὲν ἔχουσιν,
οὐδὲ διαφέρουσι δήπου ἀλλήλαιν, ἀλλὰ καὶ τὸ ἴσον αὐταῖν
58 τῷ ἱερῷ ἐς κάλλος διήκει καὶ ὡραΐζει τὸ ἐμφερές. τίς
δ' ἂν τῶν ὑπερῴων τῆς γυναικωνίτιδος ἑρμηνεὺς γένοιτο,
ἢ τάς τε παμπληθεῖς διηγοῖτο στοὰς καὶ τὰς περιστύλους
59 αὐλάς, αἷς ὁ νεὼς περιβέβληται; τίς δὲ τῶν τε κιόνων καὶ
λίθων διαριθμήσαιτο τὴν εὐπρέπειαν, οἷς τὸ ἱερὸν κεκαλ-
B 179 λώπισται; λειμῶνί τις ἂν ἐντετυχηκέναι δόξειεν ὡραίῳ τὸ
60 ἄνθος. θαυμάσειε γὰρ ἂν εἰκότως τῶν μὲν τὸ ἁλουργόν,
τῶν δὲ τὸ χλοάζον, καὶ οἷς τὸ φοινικοῦν ἐπανθεῖ καὶ ὧν
τὸ λευκὸν ἀπαστράπτει, ἔτι μέντοι καὶ οὓς ταῖς ἐναντιω-
τάταις ποικίλλει χροιαῖς ὥσπερ τις ζωγράφος ἡ φύσις.
61 ὁπηνίκα δέ τις εὐξόμενος ἐς αὐτὸ ἴοι, ξυνίησι μὲν εὐθὺς
ὡς οὐκ ἀνθρωπείᾳ δυνάμει ἢ τέχνῃ, ἀλλὰ θεοῦ ῥοπῇ τὸ

4 μὲν VL] γὰρ A. 4—5 καταλήλειπται scripsi] κατηλείληπται V, κατηλίλειπται L, κατηλήλειπται A. 5 κόμπον LA] κόσμον V. 7 ἑκατέρωθι A] ἑκατέρωθεν VL 10 καὶ VL] delevit Maltr. 11 αὐταῖς δὲ VL] ταύταις A. 17 δ' A] om. VL 19 τε VL] om. A. 22 ἂν A] om. VL. 23 φινικοῦν V pr. m.

ἔργον τοῦτο ἀποτετόρνευται· ὁ νοῦς δέ οἱ πρὸς τὸν θεὸν
ἐπαιρόμενος ἀεροβατεῖ, οὐ μακράν που ἡγούμενος αὐτὸν
εἶναι, ἀλλ' ἐμφιλοχωρεῖν μάλιστα οἷς αὐτὸς εἵλετο. καὶ 62
τοῦτο οὐ τὴν πρώτην μόνον ἰδόντι ξυμβαίνει, ἀλλὰ διη-
νεκὲς ἑκάστῳ ταὐτὸ τοῦτο δοκεῖ, ὥσπερ ἐνταῦθα τῆς
ὄψεως ἀεὶ ἀρχομένης. τούτου κόρον οὐδεὶς τοῦ θεάμα- 63
τος ἔλαβε πώποτε, ἀλλὰ παρόντες μὲν τῷ ἱερῷ ἄνθρωποι
τοῖς ὁρωμένοις γεγήθασιν, ἀπιόντες δὲ τοῖς ὑπὲρ αὐτοῦ
διαλόγοις ἀποσεμνύνονται. ἔτι μέντοι τῶν κειμηλίων 64
τοῦ νεὼ τοῦδε τά τε χρυσώματα καὶ τὰ ἐν ἀργύρῳ καὶ
λίθοις ἐντίμοις ξύμπαντα μὲν φράσαι ἀκριβολογουμένῳ
ἀμήχανον, ἅπερ Ἰουστινιανὸς βασιλεὺς τῇδε ἀνέθηκεν·
ἑνὶ δὲ μόνῳ τεκμηριοῦσθαι τοῖς τάδε ἀναλεγομένοις ἐφί-
ημι· ὁ γὰρ τοῦ ἱεροῦ τὰ μάλιστα χῶρος ἀβέβηλος καὶ 65
μόνοις ἱερεῦσι βατός, ὅνπερ καλοῦσι θυσιαστήριον, λι-
τρῶν ἀργύρου μυριάδας ἐπιφέρεται τέτταρας.
Τὰ μὲν οὖν τῆς Κωνσταντινουπόλεως ἐκκλησίας, ἥνπερ 66
μεγάλην καλεῖν νενομίκασι, συνελόντι τε καὶ ἄκρῳ δα-
κτύλῳ διαριθμησαμένῳ εἰπεῖν, λόγῳ τε βραχυτάτῳ τὰ τῶν
πραγμάτων ἀξιολογώτατα φράσαι, τῇδε Ἰουστινιανῷ δε-
δημιούργηται βασιλεῖ. οὐ χρήμασι δὲ αὐτὴν ὁ βασιλεὺς 67 P 9
ἐδείματο μόνον, ἀλλὰ καὶ πονουμένῃ τῇ διανοίᾳ καὶ τῇ B 180
ἄλλῃ τῆς ψυχῆς ἀρετῇ, ὥσπερ ἐγὼ αὐτίκα δηλώσω. τῶν 68
ἁψίδων, ὧνπερ ἐπεμνήσθην ἀρτίως, (λώρους δὲ αὐτὰς
οἱ μηχανοποιοὶ ἐπικαλοῦσι) μία τις, ἡ πρὸς ἀνίσχοντα
ἥλιόν ἐστιν, ἐπανειστήκει μὲν ἑκατέρωθεν ἤδη, οὔπω δὲ

7 παρόντες] malim παριόντες. μὲν] μὲν ⟨ἐν⟩ Wahler. 9 διαλόγοις V] λόγοις L. μέντοι VL] μὴν A. 10 χρυσώματα VL] χρησιμώτατα A. 11 σύμπαντα A. 12 Ἰουστινιανὸς VL] ὁ A. 16 ἐπιφέρεται VL] φέρεται A. τέσσαρας A. 24—16, 3 ἁψίδων — σφίσιν] δὲ ἁψίδων, ἃς λώρους ἐπικαλοῦσιν οἱ μηχανοποιοί, μία τις, ἡ πρὸς ἀνίσχοντα ἥλιον μήπω συντελεσθεῖσα τῷ μεγέθει ἐβάρυνε τοὺς πεσσούς, οἳ A.

69 ὅλη κατὰ τὸ μέσον συνετετέλεστο, ἀλλ' ἔμενεν ἔτι. οἱ δὲ
πεσσοί, ὧν δὴ ὕπερθεν ἡ οἰκοδομία ἐγίνετο, τῶν ἐγκει-
μένων σφίσιν οὐκ ἐνεγκόντες τὸ μέγεθος, ἀμηγέπη ἐξα-
πιναίως ἀπορρηγνύμενοι, οὐκ ἐς μακρὰν διαλυθησομένοις
70 ἐῴκεσαν. οἱ μὲν οὖν ἀμφί τε Ἀνθέμιον καὶ Ἰσίδωρον
τοῖς συμπεπτωκόσι περίφοβοι ὄντες ἐπὶ τὸν βασιλέα τὸ
πρᾶγμα ἦγον, δυσέλπιδες ἐπὶ τῇ τέχνῃ γεγενημένοι.
71 αὐτίκα δὲ ὁ βασιλεύς, ὅτῳ μέν ποτε ἠγμένος οὐκ οἶδα, θεῷ
δέ, οἶμαι, οὐ γάρ ἐστι μηχανικός, ἐς τὸ πέρας αὐτοῖς πε-
ριελίξαι τὴν ἀψῖδα ταύτην ἐπήγγελλεν. αὐτὴ γάρ, ἔφη,
ἐφ' ἑαυτῆς ἀνεχομένη τῶν ἔνερθεν πεσσῶν οὐκέτι δεήσει.
72 καὶ εἰ μὲν ὁ λόγος ἀμάρτυρος ἦν, εὖ οἶδα ὅτι κόλαξ τε
ἂν ἔδοξεν εἶναι καὶ ἄπιστος ὅλως, ἀλλ' ἐπεὶ μάρτυρες
πάρεισι τῶν τηνικάδε πεπραγμένων πολλοί, οὐκ ὀκνητέα
73 ἡμῖν ἐπὶ τὰ τοῦ λόγου λειπόμενά ἐστιν. οἱ μὲν οὖν τεχ-
νῖται τὰ ἐπιτεταγμένα ἐποίουν, ἡ δὲ ἀψὶς ἐπ' ἀσφαλοῦς
ᾐώρητο πᾶσα, ἐπισφραγίζουσα τῇ πείρᾳ τὴν τῆς ἐννοίας
74 ἀλήθειαν. τοῦτο μὲν οὖν ταύτῃ ἐξείργασται, κατὰ δὲ τὰς
ἄλλας ἀψῖδας αἵ τε πρὸς μεσημβρίαν τετραμμέναι εἰσὶ
75 καὶ βορρᾶν ἄνεμον, τοιόνδε ξυνηνέχθη γενέσθαι. οἱ μὲν
λῶροι καλούμενοι τοῦ νεὼ τῇ οἰκοδομίᾳ ἐξωγκωμένοι
ᾐώρηντο, βαρυνόμενα δὲ αὐτοῖς ἐπεπονήκει τὰ ἔνερθεν
πάντα, κίονές τε οἱ τῇδε ὄντες χάλικας σμικρὰς ὥσπερ
76 ἀποξυσθέντες ἀφίεσαν. καὶ αὖθις μὲν ἄθυμοι τοῖς συμ-
B 181 πεπτωκόσιν οἱ μηχανικοὶ γεγενημένοι τῷ βασιλεῖ τὰ σφίσι
77 παρόντα ἐσήγγελλον. αὖθις δὲ ὁ βασιλεὺς ἀντεπετεχνή-

5 οἱ μὲν οὖν V] οἱ μὲν L, καὶ οἱ A. τε VL] τὸν A. 6 ξυμπεπτωκόσι A. 8—9 ὅτῳ — μηχανικός VL] θεόθεν ἠγμένος A. 10 ἐπήγγελεν V. 16 ἡ δὲ VL] καὶ ἡ A. 20 τοιόνδε VL] τοιοῦτον τί A. 21 τοῦ νεὼ L, Maltr.] τῷ νεῷ VA. τῇ οἰκοδομίᾳ VL] τῆς οἰκοδομίας A. ἐξογκωμένοι V. 23 χάληκας VL. σμικρὰς VL] μικρὰς A. 24 μὲν VL] om. A. 26—17,1 ἀντεπετεχνήσατο A] ἀντετεχνήσατο VL.

σατο τάδε. τούτων δὴ τῶν πεπονηκότων τὰ ἄκρα ὅσα τῶν
ἀψίδων ἐπέψαυε, διελεῖν μὲν ἐν τῷ παραυτίκα ἐκέλευσεν,
ἐντιθέναι δὲ πολλῷ ὕστερον, ἐπειδὰν τὸ τῆς οἰκοδομίας
ὑγρὸν ἀπολωφήσειεν αὐτοῖς μάλιστα. καὶ οἱ μὲν κατὰ 38
ταῦτα ἐποίουν· ἡ δὲ κτίσις διαγέγονε τὸ λοιπὸν ἐν ἀσφα-
λεῖ οὖσα. φέρεται δέ τι καὶ μαρτύριον ὁ βασιλεὺς τοῦ
ἔργου τοιόνδε.

β'. Ἀγορά τις πρὸ τοῦ βουλευτηρίου ἐτύγχανεν οὖσα·
καλοῦσι δὲ Αὐγουσταῖον τὴν ἀγορὰν οἱ Βυζάντιοι. ἐν-
ταῦθα ξυνθῆκαι λίθων οὐχ ἧσσον ἢ ἑπτὰ ἐν τετραγώνῳ
πεποίηνται, κατὰ μὲν ἀπόβασιν ξυγκείμεναι πᾶσαι, τοσοῦ-
τον δὲ ἑκάστη τῆς ἔνερθεν οὔσης ἐλασσουμένη καὶ ἀπο- P 10
δέουσα, ὥστε δὴ τῶν λίθων ἕκαστον τῇ ἐμβολῇ προὔχοντα
βαθμὸν γεγονέναι τῶν τε ἀνθρώπων τοὺς ἐκείνῃ ἀγειρο-
μένους ἐπ' αὐτῶν ὥσπερ ἐπὶ βάθρων καθῆσθαι. ἐν δὲ 2
τῇ τῶν λίθων ὑπερβολῇ κίων ἐπανέστηκεν ἐξαίσιον ὅσον,
οὐ μονοειδὴς μέντοι, ἀλλὰ λίθοις ἐν περιδρόμῳ εὐμεγέ-
θεσι σύνθετος, ἐγγωνίοις μὲν τῇ ἐντομῇ οὖσιν, ἐς δὲ
ἀλλήλους ἐμπειρίᾳ τῶν λιθοδόμων ἐναρμοσθεῖσι. χαλκὸς 3
δὲ ἄριστος ἔν τε πίναξι καὶ στεφάνοις διαχυθεὶς περι-
βάλλει πανταχόθι τοὺς λίθους, ἐν μὲν τῷ βεβαίῳ συν-
δέων, ἐν κόσμῳ δὲ αὐτοὺς συγκαλύπτων, καὶ τά τε ἄλλα
σχεδόν τι πάντα καὶ διαφερόντως τά τε ἄνω καὶ τὰ κάτω
ἐς τοῦ κίονος τὸν τύπον ἀπομιμούμενος. ὁ δὲ χαλκὸς 4
οὗτος τὸ μὲν χρῶμά ἐστι χρυσοῦ ἀκιβδήλου πρᾳότερος,
τὴν δὲ ἀξίαν οὐ παρὰ πολὺ ἀποδέων ἰσοστάσιος ἀργύρῳ
εἶναι. ἐν δὲ τοῦ κίονος τῇ κορυφῇ χαλκοῦς ἕστηκεν 5 B 182
ὑπερμεγέθης ἵππος, τετραμμένος πρὸς ἕω, θέαμα λόγου

2 ἀπέψαυε A. ἐκέλευσεν LA] ἐκέλευεν V. 4 ἀπολοφήσειεν A. μάλιστα VL] om. A. 5 ταυτὰ A. 6—16 φέρεται — ὑπερβολῇ] ἐν δὲ τῷ καλουμένῳ αὐγουσταίῳ A. 6 καὶ V] om. L. 20 στεφάνοις VL] στεφάναις A.

πολλοῦ ἄξιον. ἔοικε δὲ βαδιουμένῳ καὶ τοῦ πρόσω λαμ-
6 πρῶς ἐχομένῳ. ποδῶν τῶν προσθίων ἀμέλει τὸν μὲν
ἀριστερὸν μετεωρίζει, ὡς ἐπιβησόμενον τῆς ἐπίπροσθεν
γῆς, ὁ δὲ δὴ ἕτερος ἐπὶ τοῦ λίθου ἠρήρεισται, οὗ ὕπερ-
θέν ἐστιν, ὡς τὴν βάσιν ἐκδεξόμενος· τοὺς δὲ ὀπισθίους
οὕτω ξυνάγει ὡς, ἐπειδὰν τὸ μὴ ἑστήξειν αὐτοῖς ἐπιβάλ-
7 λοι, ἐν ἑτοίμῳ εἶεν. τούτῳ δὴ τῷ ἵππῳ χαλκῆ ἐπιβέβηκε
τοῦ βασιλέως εἰκὼν κολοσσῷ ἐμφερής. ἔσταλται δὲ Ἀχιλ-
8 λεὺς ἡ εἰκών. οὕτω γὰρ τὸ σχῆμα καλοῦσιν ὅπερ ἀμπέ-
χεται. τάς τε γὰρ ἀρβύλας ὑποδέδεται καὶ τὰ σφυρά ἐστι
9 κνημίδων χωρίς. εἶτα ἡρωϊκῶς τεθωράκισται καὶ κράνος
αὐτῷ τὴν κεφαλὴν σκέπει δόξαν ὡς κατασείοιτο παρεχό-
10 μενον, αἴγλη τέ τις ἐνθένδε αὐτοῦ ἀπαστράπτει. φαίη
τις ἂν ποιητικῶς εἶναι τὸν ὀπωρινὸν ἐκεῖνον ἀστέρα.
βλέπει δὲ πρὸς ἀνίσχοντά που τὸν ἥλιον, τὴν ἡνιόχησιν
11 ἐπὶ Πέρσας, οἶμαι, ποιούμενος. καὶ φέρει μὲν χειρὶ τῇ
λαιᾷ πόλον, παραδηλῶν ὁ πλάστης ὅτι γῆ τε αὐτῷ καὶ
θάλασσα δεδούλωται πᾶσα, ἔχει δὲ οὔτε ξίφος οὔτε δο-
ράτιον οὔτε ἄλλο τῶν ὅπλων οὐδέν, ἀλλὰ σταυρὸς αὐτῷ
ἐπὶ τοῦ πόλου ἐπίκειται, δι' οὗ δὴ μόνου τήν τε βασι-
12 λείαν καὶ τὸ τοῦ πολέμου πεπόρισται κράτος. προτεινό-
μενος δὲ χεῖρα τὴν δεξιὰν ἐς τὰ πρὸς ἀνίσχοντα ἥλιον
καὶ τοὺς δακτύλους διαπετάσας ἐγκελεύεται τοῖς ἐκείνῃ
βαρβάροις καθῆσθαι οἴκοι καὶ μὴ πρόσω ἰέναι. ταῦτα
μὲν οὖν ὧδέ πῃ ἔχει.

---

8 Zonar. III 274, 5. Cedren. I 656, 18. Georg. Cod. de sign. 28, 18. Mal. 482, 14. Theoph. I 224, 13. Cramer Anecd. II 322. 14 ποιητικῶς] cf. Hom. Il. 5, 5.

---

3 ἐπιβησόμενον A] ἐπιβησόμενος VL. ἐπίπροσθεν VL] ἔμ-
προσθεν A. 5 βάσιν VL] βάδισιν A. δὲ VL] δὲ δὴ A.
6 αὐτοῖς VL] om. A. 6—7 ἐπιβάλη A.
V. 14 ποιητικὸς V. pr. m. 13 αὐτοῦ LA] αὐτῶν
L. 22 δὲ A] δὲ τὴν VL. 15 δὲ VL] τε A. 18 θάλαττα

Ἐκκλησίᾳ δὲ τῇ μεγάλῃ ὅμορον οὖσαν καὶ συγκατα- 13
φλεχθεῖσαν αὐτῇ πρότερον τὴν τῆς Εἰρήνης ἐπώνυμον
Ἰουστινιανὸς βασιλεὺς ὑπερμεγέθη ἐδείματο, ἱερῶν τῶν B 183
ἐν Βυζαντίῳ σχεδόν τι ἁπάντων, μετά γε τῆς Σοφίας τὸν
νεών, οὐδενὸς δεύτερον. ἦν δέ τις μεταξὺ ταύταιν δὴ 14
ταῖν ἐκκλησίαιν ξενών, ἀνθρώποις ἀνειμένος ἀπορου-
μένοις τε καὶ νοσοῦσι τὰ ἔσχατα, εἰ πρὸς τῇ οὐσίᾳ καὶ
τὸ σῶμα νοσοῖεν. τοῦτον ἀνήρ τις θεοσεβὴς ἐν τοῖς ἄνω 15
χρόνοις ἐδείματο, Σαμψὼν ὄνομα. ἔμεινε δὲ οὐδὲ αὐτὸς P 11
τοῖς στασιώταις ἀνέπαφος, ἀλλ' ἐκκλησίᾳ ἑκατέρᾳ συγκα-
ταφλεχθεὶς ἀπολώλει. Ἰουστινιανὸς δὲ αὐτὸν ἀνῳκοδο- 16
μήσατο βασιλεύς, κάλλει μὲν κατασκευῆς ἀξιώτερον, πλή-
θει δὲ οἰκιδίων παρὰ πολὺ μείζω· προσόδῳ τε αὐτὸν
ἐπετείων δεδώρηται χρημάτων μεγάλων, ὅπως δὴ πλείο-
σιν ἐς ἀεὶ ταλαιπωρουμένοις ἀνθρώποις ἰῷτο τὰ πάθη.
κόρον δὲ τῆς εἰς τὸν θεὸν τιμῆς ἢ πλησμονήν τινα ὡς 17
ἥκιστα ἔχων, δύο ξενῶνας ἑτέρους ἀπ' ἐναντίας αὐτῷ ἔθετο
ἐν ταῖς Ἰσιδώρου τε καὶ Ἀρκαδίου καλουμέναις οἰκίαις,
τῆς βασιλίδος Θεοδώρας αὐτῷ τοῦτο δὴ τῶν ἔργων ξυν-
επιλαμβανομένης τὸ ἱερώτατον. τὰ δὲ δὴ ἄλλα ἱερὰ ξύμ- 18
παντα, ὅσα τῷ Χριστῷ ὁ βασιλεὺς οὗτος ἀνέθηκε, τοσαῦτα
τὸ πλῆθος καὶ τοιαῦτα τὸ μέγεθός ἐστιν, ὥστε λεπτολο-
γεῖσθαι μὲν ἀμφ' αὐτοῖς ἀμήχανα εἶναι. οὐ γὰρ ἂν οὐδὲ 19
ὁ λόγος οὐδὲ ὁ πᾶς ἡμῖν αἰὼν ἐπαρκέσοι κατάλογον πε-

---

2 Mal. 486, 1. Theoph. I 228, 6. 9 Theoph. I 181, 28.

---

1 Ἐκκλησίᾳ hinc desinit L. καὶ συγκαταφλ. A] καὶ συ evanuit in V. 5 οὐδενὸς A] om. V. 9 αὐτὸς A] οὗτος V. 10 ἀλλ' V] ἀλλὰ τῇ A. ἑκατέρᾳ V] om. A. 11 ἀπολώλει A. 11—12 ἰουστινιανὸς — βασιλεύς V] ἀνῳκοδομήσατο δὲ τοῦτον ἰουλιανὸς A. 13 δὲ A] τε V. 16 τὸν V] om. A. 17 δύο V] καὶ δύο A. 19 τοῦτο V] τούτων A. 19—20 συνεπιλαμβανομένης A. 20 δὲ V] om. A. 22 τοιαῦτα V] om. A 23 μὲν V] om. A.

ποιημένοις ἀποστοματίσαι πρὸς ὄνομα τούτων δὴ ἕκα-
στον. ἄχρι τοῦδε ⟨εἰπεῖν⟩ ἡμῖν ἀποχρήσει.
γ'. Ἀρκτέον δὲ ἀπὸ τῶν τῆς θεοτόκου Μαρίας νεών.
τοῦτο γὰρ καὶ αὐτῷ βασιλεῖ ἐξεπιστάμεθα βουλομένῳ
εἶναι, καὶ διαφανῶς εἰσηγεῖται ὁ ἀληθὴς λόγος ὅτι δὴ
2 B 184 ἐκ τοῦ θεοῦ ἐπὶ τὴν αὐτοῦ μητέρα ἰτέον. πολλὰς τοί-
νυν ἐκκλησίας Ἰουστινιανὸς βασιλεὺς τῇ θεοτόκῳ ἐδεί-
ματο πανταχόθι τῆς Ῥωμαίων ἀρχῆς οὕτω δὴ μεγαλο-
πρεπεῖς τε καὶ παμμεγέθεις καὶ χρημάτων ὄγκῳ ἐξεργα-
σθείσας ὑπερφυεῖ, ὥστε, ἤν τις αὐτῶν μίαν κατὰ μόνας
θεῷτο, εἰκάσειεν ἂν τοῦτο αὐτῷ μόνον εἰργάσθαι τὸ ἔρ-
γον καὶ περὶ τοῦτο ἠσχολημένον ἅπαντα τῆς βασιλείας
3 κατατρῖψαι τὸν χρόνον. ἀλλὰ νῦν, ὅπερ εἶπον, τὰ ἐπὶ
Βυζαντίου ἱερά μοι γεγράψεται. τὸν μὲν οὖν ἕνα τῆς
θεοτόκου νεὼν ᾠκοδομήσατο πρὸ τοῦ περιβόλου ἐν χώρῳ
καλουμένῳ Βλαχέρναις· αὐτῷ γὰρ λογιστέον καὶ τὰ Ἰου-
στίνῳ εἰργασμένα τῷ θείῳ, ἐπεὶ καὶ αὐτοῦ τὴν βασιλείαν
κατ' ἐξουσίαν αὐτὸς διῳκεῖτο, ἐπιθαλάσσιος δὲ ὁ νεώς
ἐστιν, ἱερώτατός τε καὶ σεμνὸς ἄγαν, ἐπιμήκης μέν, κατὰ
λόγον δὲ περιβεβλημένος τῷ μήκει τὸ εὖρος, τά τε ἄνω
καὶ τὰ κάτω ἄλλῳ οὐδενὶ ἀνεχόμενος ὅτι μὴ τμήμασι λί-
4 θου Παρίου ἐν κιόνων λόγῳ ἐνταῦθα ἑστῶσι. καὶ τὰ
μὲν ἄλλα τοῦ νεὼ μέρη κατ' εὐθὺ ἑστᾶσιν οἱ κίονες, κατὰ
5 δὲ τὰ μέσα ὑποστέλλονται εἴσω. μάλιστα δὲ ἄν τις ἀγα-
σθείη τοῦ ἱεροῦ τοῦδε εἴσω γενόμενος τὸ μὲν ὑπέρογκον
P 12 τοῦ σφαλεροῦ χωρὶς τεταγμένον ὁρῶν, τὸ δὲ μεγαλο-
πρεπὲς τοῦ ἀπειροκάλου ἐλεύθερον.
6 Ἕτερον δὲ ἱερὸν αὐτῇ ἐν χώρῳ καλουμένῳ Πηγῇ ἀνέ-

23 Zouar. III 275, 10. Georg. Cod. de aed. CP. 110, 20.

2 εἰπεῖν addidi, cf. infra lib. I cap. 4, 31. IV 1, 26. 10 μό-
νας] ας evanuit in V. 18 ἐπιθαλάσσιος A] ἐπιθαλασσίδιος V.
23—21, 1 ἀνέθηκεν V] ἀνέκαθεν A.

θηκεν. ἐνταῦθά ἐστι δάσος κυπαρίσσων ἀμφιλαφές, λει-
μὼν ἐν ἁπαλαῖς ταῖς ἀρούραις τεθηλὼς ἄνθεσι, παρά-
δεισος εὐφορῶν τὰ ὡραῖα, πηγὴ ἀψοφητὶ βλύζουσα γα- B 185
ληνὸν τὸ ὕδωρ καὶ πότιμον, ἱεροπρεπῆ ἐπιεικῶς πάντα.
ταῦτα μὲν ὁ ἀμφὶ τὸ τέμενος χῶρος· αὐτὸν δὲ τὸν νεὼν 7
οὐδὲ ὀνόμασιν ἐπαξίοις συλλαβεῖν ῥᾴδιον, οὐδὲ διανοίᾳ
σκιαγραφῆσαι, οὐδὲ διαψιθυρίσαι τῷ λόγῳ. τοσοῦτον 8
δὲ μόνον εἰπεῖν ἀποχρήσει, ὡς τῶν ἱερῶν κάλλει τε καὶ
μεγέθει ὑπεραίρει τὰ πλεῖστα. ταῦτα δὲ ἄμφω τὰ ἱερὰ πρὸ 9
τοῦ τῆς πόλεως πεποίηται τείχους, τὸ μὲν ἀρχομένου παρὰ
τὴν τῆς θαλάσσης ἠιόνα, τὸ δὲ ἄγχιστά πη τῶν Χρυσῶν
καλουμένων Πυλῶν, ἃς δὴ ἀμφὶ τὸ τοῦ ἐρύματος πέρας
συμβαίνει εἶναι, ὅπως δὴ ἄμφω ἀκαταγώνιστα φυλακτή-
ρια τῷ περιβόλῳ τῆς πόλεως εἶεν. ἔτι μέντοι κἀν τῷ 10
Ἡραίῳ, ὅπερ Ἱερὸν καλοῦσι τανῦν, τῇ θεοτόκῳ νεὼν οὐκ
εὐδιήγητον κατεστήσατο.
Ἐν χωρίῳ δὲ τῆς πόλεως, ὃ Δεύτερον ἐπικαλεῖται, ἱερο- 11
πρεπές τε καὶ ἀγαστὸν ὅλως ἀνέθηκεν ἕδος Ἄννῃ ἁγίᾳ,
ἣν τῆς μὲν θεοτόκου γεγονέναι μητέρα τινὲς οἴονται, τοῦ
δὲ Χριστοῦ τιτθήν. ἄνθρωπος γὰρ ἧπερ ἐβούλετο γεγο- 12
νὼς ὁ θεὸς καὶ τριγονίας ἀνέχεται καὶ γενεαλογεῖται
τὰ ἐκ μητρὸς ἀνθρώπῳ ἴσα. τούτου δὲ δὴ τοῦ νεὼ οὐ 13
πολλῷ ἄποθεν ἀμφὶ τῆς πόλεως ἀγυιὰν ἐσχάτην Ζωῇ
μάρτυρι σεμνὸν ἐπιεικῶς ἕδος πεποίηται.
Τοῦ δὲ ἀρχαγγέλου Μιχαὴλ ἱερὸν εὗρεν ἐν Βυζαντίῳ 14
βραχύ τε καὶ ἀφεγγὲς ἄγαν καὶ ὡς ἥκιστα τῷ ἀρχαγγέλῳ
ἀνεῖσθαι πρέπον πρὸς σενάτορός τινος τῶν πατρικίων

13 ἀκαταγώνιστα V] ἀνανταγώνιστα A. 14 τῷ περιβόλῳ V]
om. A. 15 Ἱερὸν scripsi] Ἱερεῖον codd., cf. ind. s. v. Ἱερόν.
21 καὶ τριγονίας V] καὶ τριγενείας A, malim ἐκ τριγονίας.
22 ἐκ V] ἐς A. 23 ἄποθεν V] ἄνωθεν A. 25 εὗρεν V]
εὑρὼν A.

ἐν χρόνῳ γεγενημένον τῷ ἔμπροσθεν, κοιτωνίσκῳ οἰκίας
15 ἀτεχνῶς ἐμφερὲς οὐδὲ λίαν εὐδαίμονος. διὸ δὴ καθεῖλε
B 186 μὲν αὐτὸ ἐς τὸ ἔδαφος ἐκ τῶν θεμελίων, ὡς μή τι αὐτῷ
16 τῆς προτέρας ἀκοσμίας ἀπολειφθείη. εὐμέγεθες δὲ τεχ-
τηνάμενος κατὰ τὸν νῦν φαινόμενον τρόπον, ἐς κάλλος
17 μεταβιβάζει θαυμάσιον οἷον. ἐν τετραπλεύρῳ μὲν γὰρ
τὸ τέμενός ἐστιν, οὐ κατὰ πολὺ δὲ φαίνεται προέχον τοῦ
εὔρους τὸ μῆκος. τῆς δὲ πλευρᾶς ἣ πρὸς ἀνίσχοντα ἥλιον
τέτραπται κατὰ μὲν τὰ ἄκρα παχὺς ἑκατέρωθεν τοῖχος
λίθοις ἐν πλήθει ξυγκειμένοις ἀποτετόρνευται, κατὰ δὲ
18 τὰ μέσα ἐξ ὑπαγωγῆς ἀποχωρῶν ὑποστέλλεται. καὶ αὐτῆς
ἐφ' ἑκάτερα μὲν ἀνέχουσι τὸν νεὼν κίονες χροιαῖς τισι
ποικιλλόμενοι φύσει. ὁ δὲ καταντικρὺ πρὸς δύοντά που
τὸν ἥλιον τοῖχος ταῖς εἰς τὸν νεὼν εἰσαγούσαις διῄρηται
θύραις.

P 13 δ'. Ἐς δὲ τοῦ Χριστοῦ ἀποστόλους τὸ πιστὸν ἐπιδέ-
δεικται τρόπῳ τοιῷδε. πρῶτα μὲν Πέτρῳ καὶ Παύλῳ νεὼν
οὐ πρότερον ὄντα ἐν Βυζαντίῳ ἐδείματο παρὰ τὴν βασι-
2 λέως αὐλήν, ἣ Ὁρμίσδου τὸ παλαιὸν ἐπώνυμος ἦν· ταύ-
την γὰρ οἰκίαν αὐτοῦ ἰδίαν Παλάτιον εἶναι δοκεῖν τε
καὶ πρέπειν τῷ μεγαλοπρεπεῖ τῆς οἰκοδομίας διαπραξά-
μενος, ἐπειδὴ αὐτοκράτωρ κατέστη Ῥωμαίοις, τοῖς ἄλλοις
3 βασιλείοις ἐνῆψεν. οὗ δὴ καὶ τέμενος ἄλλο ἁγίοις ἐπι-
φανέσι Σεργίῳ τε καὶ Βάκχῳ ἐδείματο, καὶ ἔπειτα καὶ
4 τέμενος ἄλλο ἐκ πλαγίου τούτῳ παρακείμενον. ἄμφω δὲ
τούτω τὼ νεὼ οὐκ ἀντιπροσώπω, ἀλλ' ἐκ πλαγίας ἀλλή-
λοιν ἑστᾶσι, συνημμένοι τε καὶ ἀλλήλοις ἐνάμιλλοι ὄντες,

24 Zonar. III 276, 11. Cedren. I 642, 20. Hammer I. XII et Proc. ed. Dind. III 396, ubi invenitur inscriptio huius templi.

1 ἐν χρόνῳ V] om. A. 5 κατὰ V] ἐς A. 19—24 ταύτην γὰρ οἰκίαν αὐτοῦ — ἐδείματο, καὶ V, ἔνθα τὴν οἰκίαν εἶχεν αὐτὸς πρὸ τοῦ βασιλεῦσαι A.

καὶ τὰς εἰσόδους ἐπικοινούμενοι, καὶ ἴσα ἀλλήλοις τά τε
ἄλλα πάντα καὶ τὰ κράσπεδα περιβεβλημένοι, καὶ ἅτερος
θατέρου οὔτε κάλλους πέρι οὔτε μεγέθους οὔτε ἄλλου οὐδε- B 187
νὸς πλεονεκτῶν ἢ ἐλασσούμενος δείκνυται. ὁμοίως μὲν 5
γὰρ ἑκάτερος τῇ αἴγλῃ τῶν λίθων ὑπεραστράπτει τὸν
ἥλιον, ὁμοίως δὲ χρυσοῦ περιουσίᾳ πανταχόθι κατακορής
ἐστι καὶ κατακομᾷ τοῖς ἀναθήμασιν. ἑνὶ μέντοι διαλ-
λάσσουσι μόνῳ. τὸ μὲν γὰρ μῆκος αὐτοῖν τῷ μὲν κατ' 6
εὐθὺ διαπεπόνηται, τῷ δὲ οἱ κίονες ἐν ἡμικύκλῳ ἐκ τοῦ
ἐπὶ πλεῖστον ἑστᾶσιν. ἔστι δὲ αὐτοῖς μία μὲν ἡ ἐπὶ τῶν 7
προθύρων στοὰ ἐπὶ τοῦ νάρθηκος τῷ περιμήκης εἶναι
ὠνομασμένη. ἐπὶ κοινῆς δὲ προπύλαια πάντα, ἥ τε αὐλὴ
καὶ μέταυλοι θύραι καὶ τὸ προσήκειν τοῖς βασιλείοις.
οὕτω δὲ ἄμφω ἀγαστὰ τὰ ἱερὰ τάδε ξυμβαίνει εἶναι ὥστε 8
διαφανῶς τῆς τε πόλεως ὅλης καὶ οὐχ ἥκιστα τῶν βασι-
λείων ἐγκαλλώπισμα τυγχάνει ὄντα.

Μετὰ δὲ καὶ τοὺς ἀποστόλους ἅπαντας ὑπερφυῶς σέ- 9
βων ἐποίει τοιάδε. ἦν τις ἐν Βυζαντίῳ ἐκ παλαιοῦ τοῖς
ἀποστόλοις νεὼς ἅπασι· μήκει τε χρόνου κατασεισθεὶς
ἤδη καὶ πρὸς τὸ μηκέτι ἑστήξειν γεγονὼς ὕποπτος. τοῦ- 10
τον περιελὼν Ἰουστινιανὸς βασιλεὺς ὅλον οὐχ ὅσον ἀνα-
νεώσασθαι διὰ σπουδῆς ἔσχεν, ἀλλὰ καὶ μεγέθους καὶ
κάλλους πέρι ἀξιώτερον καταστήσασθαι. ὑπετέλεσε δὲ 11
τὸ σπούδασμα τρόπῳ τοιῷδε. εὐθεῖαι συνημμέναι κατὰ
μέσον ἀλλήλαιν ἐπὶ σταυροῦ σχήματος πεποίηνται δύο,

18 Zonar. III 275, 21. Ephraem. hist. Patr. 80, 15. Theoph. I 227, 11.

2—3 ἄτερος θατέρου A] om. V, οὐδέτερος Maltr. 3 οὔτε κ. — οὔτε μεγ. Dind.] οὐδὲ κ. — οὐδὲ μεγ. codd. 3—4 οὐδὲ ἄλλου — ἐλασσούμενος A] om. V. 7—8 διαλάσσουσι V. 8 μὲν V] om. A. αὐτοῖν V] αὐτοῖς A. 11 τῷ] τὸ V. 13 προσήκειν Maltr.] προσοικεῖν V. 19 τε V] om. A. 23 ὑπετέλεσέ τε V, ἐπετέλεσε δὲ Maltr.

ἡ μὲν ὀρθὴ πρὸς ἀνίσχοντά τε καὶ δύοντα τὸν ἥλιον οὖσα,
ἐγκαρσία δὲ ἡ ἑτέρα πρός τε ἄρκτον τετραμμένη καὶ ἄνε-
12 P 14 μον νότον. τοίχοις μὲν ἐκ περιφεροῦς ἀποπεφραγμέναι
τὰ ἔξωθεν, ἐντὸς δὲ περιβαλλόμεναι κίοσιν ἄνω τε καὶ
B 188 κάτω ἑστῶσι· κατὰ δὲ ταῖν δυοῖν εὐθείαιν τὸ ζεῦγμα,
εἴη δ' ἂν κατὰ μέσον αὐταῖν μάλιστα, τοῖς οὐκ ὀργιά-
ζουσιν ἄβατος τετέλεσται χῶρος, ὅνπερ ἱερατεῖον, ὡς τὸ
13 εἰκός, ὀνομάζουσι. καὶ αὐτοῦ αἱ μὲν ἐφ' ἑκάτερα πλευ-
ραὶ τῆς ἐν τῷ ἐγκαρσίῳ κειμένης εὐθείας ἴσαι ἀλλήλαις
τυγχάνουσιν οὖσαι, τῆς μέντοι ὀρθῆς ἡ πρὸς δύοντα ἥλιον
ἐς τόσον τῆς ἑτέρας πεποίηται μείζων ὅσον ἀπεργάσασθαι
14 τὸ τοῦ σταυροῦ σχῆμα. τῆς δὲ ὀροφῆς τὰ μὲν τοῦ ἱερα-
τείου καλουμένου καθύπερθεν τῷ τῆς Σοφίας ἱερῷ κατά
γε τὰ μέσα ἐμφερῆ εἴργασται, πλήν γε δὴ ὅτι ταῦτα ἐκεί-
15 νων ἐλασσοῦσθαι μεγέθει συμβαίνει. αἵ τε γὰρ ἀψῖδες
τέσσαρες οὖσαι κατὰ τὸν αὐτὸν ᾐώρηνταί τε καὶ συνδέον-
ται ἀλλήλαις τρόπον καὶ τὸ κυκλοτερὲς ὑπερανεστηκὸς
κατὰ τὰς θυρίδας διήρηται, τό τε σφαιροειδὲς ἐπικυρ-
τούμενον ὕπερθεν μετεωρίζεσθαί που δοκεῖ καὶ οὐκ ἐπὶ
στερρᾶς τῆς οἰκοδομίας ἑστάναι, καίπερ ἀσφαλείας εὖ
16 ἔχον. τὸ μὲν οὖν τῆς ὀροφῆς μέσον τῇδε πεποίηται· κατὰ
δὲ τὰς πλευρὰς τέσσαρας οὔσας, ἧπέρ μοι εἴρηται, κατὰ
ταὐτὰ τῷ μέσῳ τὸ μέγεθος εἴργασται, τούτου δὴ μόνου
ἐνδέοντος, ὅτι δὴ τοῦ σφαιρικοῦ ἔνερθεν οὐ διήρηται ἡ
17 οἰκοδομία θυρίσιν. ἐπειδὴ δὲ αὐτῷ τὸ ἁγίστευμα τοῦτο
ἐξείργαστο, καταφανεῖς οἱ ἀπόστολοι πεποίηνται πᾶσιν
ὡς γεγήθασί τε τῇ τοῦ βασιλέως τιμῇ καὶ κατακόρως ἐνα-
18 βρύνονται. σώματα γοῦν ⟨τῶν⟩ ἀποστόλων Ἀνδρέου τε

8 εἰκὸς Hoesch.] εἰκῶς V. 17 ὑπερανεστηκὸς superscr. ἐπαν V. 23 ταὐτὰ Hoesch. in marg.] ταῦτα V. 26 καταφανεῖς Hoesch. in marg., Maltr., Dind.] καταφανὲς V. „Lectio marginis deleatur" Hoesch. in notis. 28 γοῦν ⟨τῶν⟩] γοῦν V, γὰρ ⟨τῶν⟩ Maltr.

καὶ Λουκᾶ καὶ Τιμοθέου ἄδηλά τε καὶ ὅλως κρυφαῖα τὰ
πρότερα ὄντα τηνικάδε πᾶσιν ἔνδηλα γέγονεν, οὐκ ἀπα-
ξιούντων, οἶμαι, τὴν βασιλέως πίστιν, ἀλλ' ἐπιχωρούν-
των αὐτῷ διαρρήδην ὁρῶντί τε αὐτοὺς καὶ προσιόντι B 189
καὶ ἁπτομένῳ τῆς ἐνθένδε ὠφελείας τε καὶ περὶ τὸν βίον
ἀσφαλείας ἀπόνασθαι. ἐγνώσθη δὲ ὧδε.
Κωνστάντιος μὲν βασιλεὺς τοῦτον δὴ τὸν νεὼν ἔς τε 19
τὴν τιμὴν καὶ τὸ ὄνομα τῶν ἀποστόλων ἐδείματο, τὰς
θήκας γενέσθαι αὐτῷ τε καὶ τοῖς ἐς τὸ ἔπειτα βασιλεύ-
σουσιν ἐνταῦθα τάξας, οὐκ ἀνδράσι μόνον, ἀλλὰ καὶ
γυναιξὶν οὐδέν τι ἧσσον· ὅπερ καὶ διασώζεται ἐς τόνδε
τὸν χρόνον· οὗ δὴ καὶ Κωνσταντίνου τοῦ πατρὸς τὸν
νεκρὸν ἔθετο. ἀποστόλων δὲ σώματα ἐνταῦθα εἶναι ὡς 20
ἥκιστά πη ἐπεσημήνατο, οὐδέ τις ἐνταῦθα ἐφαίνετο χῶ-
ρος σώμασιν ἁγίοις ἀνεῖσθαι δοκῶν. ἀλλὰ νῦν Ἰουστι- 21
νιανοῦ βασιλέως ἀνοικοδομουμένου τὸ ἱερὸν τοῦτο, οἱ
μὲν λιθουργοὶ τὸ ἔδαφος διώρυσσον ὅλον, τοῦ μή τι
ἄκοσμον τῇδε λελεῖφθαι· θήκας δὲ ξυλίνας ἐνταῦθά πη
ἀπημελημένας τεθέανται τρεῖς, γράμμασιν ἐγκειμένοις
σφίσι δηλούσας, ὡς Ἀνδρέου τε καὶ Λουκᾶ καὶ Τιμο-
θέου τῶν ἀποστόλων σώματα εἶεν· ἅπερ ἀσμενέστατα 22
βασιλεύς τε αὐτὸς καὶ Χριστιανοὶ ξύμπαντες εἶδον, πομ- P 15
πήν τε αὐτοῖς καὶ πανήγυριν ἐπιτετελεκότες, τῇ τε
περὶ αὐτοὺς τιμῇ ἐξοσιωσάμενοι τὰ εἰωθότα καὶ περι-
στείλαντες τὰς θήκας αὖθις τῇ γῇ ἔκρυψαν, οὐκ ἄσημον
οὐδὲ ἀγείτονα λιπόντες τὸν χῶρον, ἀλλὰ σώμασιν ἀπο-
στόλων ἀνειμένον καταστησάμενοι ξὺν εὐσεβείᾳ. εὐθη- 23

7 cf. Zonar. III 275, 23. 20 Mal. 484, 18. Theoph. I 227, 12. Mich. Syr. 199. Niceph. Call. XVII 26.

7 κωνσταν̄ V] Κωνσταντῖνος edd. 9 αὐτῷ V.

λον δὲ ὡς ἀμειβόμενοι, ὅπερ μοι εἴρηται, οἱ ἀπόστολοι
οἵδε τὴν ἐς αὐτοὺς βασιλέως τιμὴν πεφήνασι τοῖς ἀν-
24 θρώποις τανῦν. βασιλέως γὰρ εὐσεβοῦντος οὐδὲ ἀπο-
B 190 φοιτᾷ τῶν ἀνθρωπείων τὰ θεῖα πραγμάτων, ἀλλ' ἐπι-
μίγνυσθαί τε καὶ ἐμφιλοχωρεῖν τῇ ἐς τοὺς ἀνθρώπους
ὁμιλίᾳ φιλεῖ.
25 Τίς δ' ἂν τὸν Ἀκακίου σιωπῴη νεών; ὅνπερ κατα-
πεπονηκότα περιελὼν ἐξ αὐτῶν θεμελίων ἀνέστησε, μέ-
γεθος περιβεβλημένον θαυμάσιον ἡλίκον· ὃς κίοσι μὲν
ἐπῆρται πανταχόθι λευκοῖς ὑπεράγαν, λίθῳ δὲ τὰ ἐδάφη
παραπλησίῳ ἠμφίεσται, ὧνπερ ἀπαστράπτει τοσοῦτον ἡ
αἴγλη ὥστε καὶ δόξαν παρέχεσθαι ὅτι δὴ χιόσιν ὁ νεὼς
26 ἅπας κατάρρυτός ἐστι. στοαὶ δὲ αὐτοῦ προβέβληνται
δύο, περίστυλος μὲν ἀτέρα οὖσα, ἡ δὲ πρὸς ἀγορὰν νε-
27 νευκυῖα. μικροῦ με τὸ μαρτύριον ἐκεῖνο παρῆλθεν εἰπεῖν,
ὃ Πλάτωνι ἀνεῖται ἁγίῳ, ἱεροπρεπές τε ὡς ἀληθῶς ὂν
καὶ σεμνὸν ἄγαν, οὐ πολλῷ τῆς ἀγορᾶς ἄποθεν, ἡ βασι-
λέως Κωνσταντίνου ἐπώνυμός ἐστιν· ἔτι μέντοι καὶ τὸν
Μωκίῳ μάρτυρι ἀνειμένον νεών, οὗπερ τὰ ἱερὰ πάντα
28 μεγέθει ἐλάσσω. πρὸς δὲ καὶ τὸ Θύρσου μάρτυρος ἕδος
καὶ μὴν τὸ Θεοδώρου ἁγίου τέμενος πρὸ τῆς πόλεως
κείμενον ἐν χώρῳ καλουμένῳ Ῥησίῳ, καὶ τό τε Θέκλης
μάρτυρος ἱερόν, ὃ παρὰ τὸν τῆς πόλεως λιμένα ἐστίν,
ὅνπερ ἐπώνυμον Ἰουλιανοῦ ξυμβαίνει εἶναι, καὶ τὸ Θεο-
29 δότης ἁγίας ἐν προαστείῳ καλουμένῳ Ἑβδόμῳ. ταῦτα
γὰρ ἅπαντα ὁ βασιλεὺς οὗτος ἐπὶ τοῦ θείου Ἰουστίνου
βασιλεύοντος ἐκ θεμελίων ἐδείματο, ἀπαγγέλλεσθαι μὲν

7 Georg. Cod. de aed. CP. 77, 1. 19 Georg. Cod. de aed. CP. 78, 5. 22 cf. Suid. s. v. Ῥῆσος.

15 παρῆλθεν εἰπεῖν ἐκεῖνο A. 19 νεὼν A] ναὸν V. 20 μάρτυρον A. 22 θέκλης A] θέκλας V.

οὐ ῥᾴδια λόγῳ, θαυμάζεσθαι δὲ ὄψει κατὰ τὴν ἀξίαν
ἀμήχανα. ἕλκει τὸν λόγον ἐς αὐτὸν ὁ Ἀγαθονίκου τοῦ 30
ἁγίου νεὼς καὶ βιάζεται οὐδὲ φωνὴν ἔτι ἔχοντα οὐδὲ
ὀνόματα ἐφαρμόσαι τοῖς πράγμασι. διόπερ ἡμῖν μὲν 31
ἄχρι τοῦδε εἰπεῖν ἀποχρήσει· φράσαι δὲ αὐτοῦ τό τε B 191
κάλλος καὶ τὸ ἐς ἅπαντα μεγαλοπρεπὲς ἑτέροις ἀφίεμεν,
οἷς ἂν ὁ λόγος ἀκμάζων τε καὶ οὔπω πεπονηκὼς παντά-
πασιν εἴη.
ε'. Καὶ ἄλλα δὲ τεμένη ἐν τῷ καλουμένῳ Ἀνάπλῳ P 16
καὶ κατὰ τὴν ἀντιπέρας ἤπειρον εὗρεν οὐ πρέποντα τῶν
τινι ἀνεῖσθαι ἁγίων, ἔτι μέντοι καὶ ἀμφὶ τὸν κόλπον,
ὅνπερ Κέρας οἱ ἐπιχώριοι Κεροέσσῃ τῇ Βύζαντος μητρὶ
τοῦ τῆς πόλεως οἰκιστοῦ ἐπωνύμως καλοῦσιν, ἐν τοῖς
ἅπασιν ἐπιδέδεικται πολυτέλειαν ἐπιτηδείως βασιλεῖ
ἔχουσαν, ἅπερ ἐγὼ αὐτίκα δηλώσω, ὑπειπὼν πρότερον
ὅντινα διακοσμεῖ τρόπον ἡ θάλασσα τὸ Βυζάντιον.
Πρὸς τῇ ἄλλῃ εὐδαιμονίᾳ καὶ ἡ θάλασσα ἐν καλῷ 2
τίθεται ἀμφ' αὐτὸ μάλιστα ἐγκολπουμένη τε καὶ εἰς πορθ-
μοὺς ξυναγομένη καὶ χεομένη ἐς πέλαγος μέγα, ταύτῃ
τε τὴν πόλιν εὐπρόσωπόν τε διαφερόντως ἐργαζομένη
καὶ σκέπας λιμένων ἡσύχιον τοῖς ναυτιλλομένοις παρεχο-
μένη, τά τε εἰς τὴν δίαιταν εὔπορον καὶ τὰ ἐς τὴν χρείαν
εὐδαίμονα. πελάγη γὰρ δύο ἀμφ' αὐτὴν ὄντα, ὅ τε δὴ 3
Αἰγαῖος καὶ ὁ Εὔξεινος καλούμενος Πόντος, ξυνίασιν
ἀλλήλοις ἐς τὰ πρὸς ἕω τῆς πόλεως, καὶ ξυγκρουόμενα

2 Georg. Cod. de aed. CP. 71, 1. 12 Κεροέσσῃ] cf. Pape, Wörterb. d. Eigennamen s. v. Κερόεσσα.

1 θαυμάζεσθαι V] φράζεσθαι A. 2 αὐτὸν codd. 12 Κεροέσσῃ Maltr.] κορέσσῃ V. 16 ὅντινα A] ὅντινα τὴν πόλιν V. 18 αὐτὸ Hoesch.] αὐτὸ V, αὐτῷ A. 21 ναυτιλομένοις V. 21—22 παρεχομένη A] παρεχομένην V. 23 ὄντα V] ἐόντα A. 24 ξυνιᾶσιν V.

τῇ τοῦ ῥοθίου ἐπιμιξίᾳ, ταύτῃ τε τὴν ἤπειρον τῇ ἐσβολῇ
4 βιαζόμενα, καλλωπίζουσι κύκλῳ τὴν πόλιν. πορθμοὶ
τοίνυν αὐτὴν περιβάλλουσι τρεῖς, ἀλλήλοις μὲν ἀπερη-
ρεισμένοι, ἐς κάλλος δὲ αὐτῇ διατεταγμένοι καὶ χρείαν,
περιπλεῖσθαι μὲν ἥδιστοι ἅπαντες, ἀποσκοπήσασθαι δὲ
5 ποθεινοί, ἐνορμίσασθαι δὲ λίαν εὐλιμένες. καὶ ὁ μὲν
αὐτῶν μέσος ἐκ Πόντου προϊὼν τοῦ Εὐξείνου εὐθὺ τῆς
πόλεως ὡς διακοσμήσων αὐτὴν ἵεται, ἐφ' ἑκάτερα δὲ ἄμφω
6 B 192 τὰ ἠπείρω διακεκλήρωται. ὧν δὴ ταῖς ὄχθαις πεπίεσται,
ἐπιφρίττων τε καὶ γαυρουμένῳ ἐοικώς, ὅτι δὴ ἐποχού-
7 μενος τῇ τε Ἀσίᾳ καὶ τῇ Εὐρώπῃ προσβαίνει τῇ πόλει. δό-
ξαις ἂν ποταμὸν τεθεᾶσθαι ἐπίπροσθεν προσηνεῖ τῷ ῥεί-
θρῳ ἰόντα. ὁ δὲ δὴ αὐτοῦ ἐν ἀριστερᾷ θλίβεται μὲν
ἑκατέρωθεν ἐπὶ μακρότατον ταῖς ἀκταῖς, τά τε ἄλση καὶ
λειμώνων κάλλη καὶ τὰ ἄλλα τῆς ἀντιπέρας ἠπείρου ἐν-
8 δεικνύμενος ὑποκείμενα τῇ τῆς πόλεως ὄψει. εὐρύνεται
δὲ τὸ ἐντεῦθεν ἐξωθούμενος αὐτῆς πρὸς ἄνεμον νότον
9 καὶ τὴν Ἀσίαν αὐτῆς ὡς πορρωτάτω ἀποκομίζων. ἀλλὰ
καὶ ὡς περιβάλλον διαμένει τὴν πόλιν τὸ ῥόθιον ἄχρι
ἐς δύοντά που τὸν ἥλιον. ὁ δὲ δὴ τρίτος πορθμὸς τοῦ
μὲν πρώτου ἐχόμενος ἐπὶ δεξιᾷ, ἐκ δὲ Συκῶν τῶν καλου-
μένων ἀρχόμενος, ἐπὶ πλεῖστον διήκει τῆς πόλεως πρὸς
10 βορρᾶν ἄνεμον, οὗ δὴ ἐς κόλπον τελευτῶν παύεται. οὕτω
μὲν οὖν στεφανοῖ τὴν πόλιν ἡ θάλασσα, ἐκδέχεται δὲ ἀνὰ
P 17 τὸ λειπόμενον ἡ γῆ, μεταξὺ τοσαύτη οὖσα, ὅσον τὴν ἀπὸ
11 τῆς θαλάττης στεφάνην ἐνταῦθα ξυνδεῖσθαι. πραΰνεται
δὲ διηνεκὲς ὁ κόλπος οὗτος καὶ ἀναθολοῦσθαι οὐδαμῆ
πέφυκεν, ὥσπερ ὁρίων τῷ κλύδωνι κειμένων ἐνταῦθα
καὶ σάλου τὸ ἐνθένδε παντὸς τῇ τῆς πόλεως εἰργομένου
12 τιμῇ. χειμῶνος δέ, ἂν οὕτω τύχῃ, καὶ ἀνέμων σκληρῶν

18 πορρωτάτω Hoesch.] πορωτάτω V.

τοῖς τε πελάγεσι καὶ τῷ πορθμῷ ἐπιπεσόντων, ἐπειδὰν
ἐς τὴν εἴσοδον ἵκωνται τοῦ κόλπου αἱ νέες, ἀκυβέρνητοί
τε τὸ λοιπὸν ἴασι καὶ ἀπροβουλεύτως ὁρμίζονται. ἐς στα- 13
δίους μὲν γὰρ πλεῖν ἢ τεσσαράκοντα τὸ περίμετρον τοῦ
κόλπου διήκει, λιμὴν δὲ ὅλος πανταχῆ ἐστιν· ὥστε ἀμέ-
λει ὁρμιζομένης ἐνταῦθα νηὸς ἡ μὲν πρύμνα τῇ θαλάσσῃ
ἐπῆρται, ἡ δὲ πρῷρα ἐν τῇ γῇ κάθηται, ὥσπερ ἀλλή-
λοις τῶν στοιχείων ἁμιλλωμένων, ὁπότερον ἂν αὐτοῖν B 193
δύναιτο μᾶλλον τὴν ἐς τὴν πόλιν ἐνεργολαβεῖν ὑπουρ-
γίαν.

ς'. Τὰ μὲν οὖν τοῦ κόλπου τοῦδε τοιαῦτά ἐστι. βασι-
λεὺς δὲ Ἰουστινιανὸς κάλλος ἀμφ' αὐτὸν ἐξ οἰκοδομίας
πεποιημένος ἐπιφανέστερον ἐξειργάσατο. τό τε γὰρ ἐν 2
ἀριστερᾷ τοῦ κόλπου Λαυρεντίου ἁγίου μαρτύριον ἀφεγ-
γές τε τὰ πρότερα ὂν καὶ σκότους ἀτεχνῶς ἔμπλεων μεθ-
αρμοσάμενος, ὡς διὰ βραχέων εἰπεῖν, ἐς τὸν νῦν φαι-
νόμενον ἀνέθηκε τρόπον. καὶ αὐτοῦ ἐπίπροσθεν τὸν τῆς 3
θεοτόκου νεὼν ἐν χώρῳ καλουμένῳ Βλαχέρναις τοιοῦτον
δεδημιούργηκεν οἷός μοι ἔναγχος δεδιήγηται. ἐπέκεινά 4
τε Πρίσκῳ τε καὶ Νικολάῳ ἁγίοις ἱερὸν ᾠκοδομήσατο,
καινουργήσας αὐτός, οὗ δὴ οἱ Βυζάντιοι ἐμφιλοχωροῦν-
τες ἐνδιατρίβουσιν ἐκ τοῦ ἐπὶ πλεῖστον, πῇ μὲν σέβοντές
τε καὶ τεθηπότες τοὺς ἁγίους ἐνδήμους σφίσι γινομένους,
πῇ δὲ τῆς τοῦ τεμένους ἀπολαύοντες εὐπρεπείας, ἐπεὶ
τῆς θαλάσσης τὸ ῥόθιον βιασάμενος βασιλεὺς ὕπερθέν

18 cf. supra p. 20, 15.

4 πλεῖν V] πλεῖον edd. 9 δύναιτο Hoesch.] δύναιντο V. ἐνεργολαβεῖν scripsi] ἐν ἔργῳ λαβεῖν V. 12 αὐτὸν V. 15 τε τὰ V] τε om. A. ἔμπλεων V] ἔμπλεον A. 20 τε 1] δὲ Wahler. τε καὶ V] τε om. A. 22—24 πῇ — πῇ Dind.] πῆ — πῆ V. 23 σφίσι 1] σφ/// V, om. A.

τε τοῦ κλυδωνίου ἐπὶ μακρότατον ἐνθέμενος τὰ θεμέλια
τὸ ἱερὸν κατεστήσατο.
5 Κατὰ δὲ τοῦ κόλπου τὸ πέρας ἔν τε τῷ ἀνάντει καὶ
ἰσχυρῶς ὀρθίῳ τέμενος ἐκ παλαιοῦ Κοσμᾷ τε καὶ Δα-
μιανῷ ἁγίοις ἀνεῖται· οὗ δὴ αὐτόν ποτε νενοσηκότα πικρό-
τατα καὶ δόκησιν παρεχόμενον ὅτι δὴ ἀποθάνοι, πρός τε
τῶν ἰατρῶν ἀπολελειμμένον ἅτε δὴ ἐν νεκροῖς κείμενον,
ἐς ὄψιν ἐλθόντες ἐσώσαντο οἱ ἅγιοι οὗτοι ἐκ τοῦ παρα-
6 δόξου καὶ τοῦ παραλόγου καὶ ὀρθὸν ἔστησαν. οὓς δὴ
εὐγνωμοσύνῃ ἀμειβόμενος ὅσα γε τὰ ἀνθρώπεια, ὅλην
ἐναλλάξας τε καὶ μετασκευασάμενος τὴν προτέραν οἰκο-
B 194 δομίαν ἄκοσμόν τε καὶ ἄδοξον οὖσαν οὐδὲ ἀξιόχρεων
P 18 τηλίκοις ἁγίοις ἀνεῖσθαι, κάλλει τε καὶ μεγέθει τὸν νεὼν
κατελάμπρυνε καὶ φωτὸς αἴγλῃ, ἄλλα τε πολλὰ οὐ πρό-
7 τερον ὄντα ἀνέθηκεν. ἐπειδάν τέ τινες ἀρρωστήμασιν
ὁμιλήσαιεν ἰατρῶν κρείττοσιν, οἵδε τὴν ἀνθρωπείαν ἀπο-
γνόντες ἐπικουρίαν ἐπὶ τὴν μόνην αὐτοῖς ὑπολελειμμένην
ἐλπίδα χωροῦσι, καὶ γενόμενοι ἐν ταῖς βάρεσι πλέουσι
8 διὰ τοῦ κόλπου ἐπὶ τοῦτον δὴ τὸν νεών. ἀρχόμενοί τε
τοῦ εἴσπλου εὐθὺς ὁρῶσιν ὥσπερ ἐν ἀκροπόλει τὸ τέ-
μενος τοῦτο ἀποσεμνυνόμενόν τε τῇ τοῦ βασιλέως εὐγνω-
μοσύνῃ καὶ παρεχόμενον τῆς ἐντεῦθεν ἐλπίδος αὐτοῖς
ἀπολαύειν.
9 τοῦ δὲ κόλπου ἐπὶ θάτερα μαρτύριον οἰκοδομησάμενος
βασιλεὺς οὐ πρότερον ὂν ἀνέθηκεν Ἀνθίμῳ μάρτυρι παρ'
10 αὐτὴν μάλιστα τὴν τοῦ κόλπου ἠϊόνα. καὶ τὰ μὲν κρά-
σπεδα τοῦ ἱεροῦ πραϋνομένῃ ἐπικλυζόμενα τῇ τῆς θα-
11 λάσσης ἐπιρροῇ τὸ εὔχαρι ἐπιεικῶς ἔχει. οὐ γὰρ ξὺν θο-

3 πέρας A] κέρας V. 5—6 πικρότατα V] πικρῶς A. 6 ἀπο-
θάνοι V] ἀποθάνῃ A. 13 τηλικούτοις ἀνεῖσθαι ἁγίοις A.
14 αἴγλῃ A] αἴγλην V.

ρύβῳ τὸ κλυδώνιον ἐπανεστηκὸς εἶτα εἰς τοὺς ἐκείνῃ λί-
θους ἀράσσεται, οὐδὲ μεγάλα τὸ κῦμα ἠχῆσαν, οἷά γε τὰ
θαλάττια, καὶ σχιζόμενον ἀποκρίνεται, εἰς εἶδος ἀφρῶ-
δες, ἀλλὰ πρόεισι μὲν προσηνές, σιωπηλὸν δὲ ὂν ἐπιψαύει
τῆς γῆς, ἀναστρέφει δὲ μόνον. ἐκδέχεται δὲ τὸ ἐνθένδε 12
αὐλὴ ὁμαλή τε καὶ λίαν ὑπτία, μαρμάροις μὲν πανταχό-
θι κεκομψευμένη καὶ κίοσιν, ὄψει δὲ ὡραϊζομένη τῇ
ἐς τὴν θάλασσαν. στοὰ μετὰ ταύτην καὶ ὁ νεὼς ἐντὸς 13
ἐν τετραγώνῳ ἐς ὕψος ἐπῆρται λίθων εὐπρεπείᾳ καὶ χρυσῷ
κατακεχυμένῳ καλλωπιζόμενος. τοσοῦτον δὲ προέχει μό- 14
νον τοῦ εὔρους τὸ μῆκος ἐς ὅσον δὴ χῶρον τὸν ἀβέβη-
λον, ἐν ᾧ ὄργια τὰ ἄρρητα τελεῖσθαι θέμις, κατὰ τὴν
πλευράν, ἣ πρὸς ἀνίσχοντα ἥλιον τέτραπται, διήκειν ξυμ- B 195
βαίνει. ταῦτα μὲν οὖν τῇδέ πῃ ἔχει.
ζ'. Ἐπέκεινα δὲ κατ' αὐτὸ μάλιστα τοῦ κόλπου τὸ στόμα
Εἰρήνης μάρτυρος νεὼς ἵδρυται. ὃς δὴ οὕτω μεγαλο-
πρεπῶς τῷ βασιλεῖ ὅλος ἐξείργασται ὡς οὐκ ἂν ἔγωγε
φράσαι ἱκανῶς ἔχοιμι. ἀντιφιλοτιμούμενος γὰρ τῇ θα- 2
λάσσῃ ἀμφὶ τοῦ κόλπου τῇ εὐπρεπείᾳ, ὥσπερ ὅρμῳ περι-
φερεῖ ἐγκαλλώπισμα τὰ ἱερὰ ταῦτα ἐντέθεικεν. ἀλλ' ἐπεὶ
τούτου δὴ τοῦ τῆς Εἰρήνης νεὼ ἐπεμνήσθην, καὶ τὸ ἐκείνῃ
ξυνενεχθὲν οὔ μοι ἀπὸ τρόπου τῇδε γεγράψεται. ἐνταῦθα 3
ἔκειτο λείψανα ἐκ παλαιοῦ ἀνδρῶν ἁγίων οὐχ ἧσσον ἢ
τεσσαράκοντα· οἳ στρατιῶται μὲν Ῥωμαῖοι ἐτύγχανον
ὄντες, ἐν λεγεῶνι δὲ δυοδεκάτῃ ἐτάττοντο, ἣ ἐν πόλει
Μελιτηνῇ τῆς Ἀρμενίας τὸ παλαιὸν ἵδρυτο. ἡνίκα τοί- 4

1 εἶτα V] om. A. 3 θαλάσσια A. 4 πρόεισι V] πρόσι
A. 5 μόνον l] μένον V. 11 δὴ V] δὴ τὸν A. 16 νεὼς A]
ναὸς V. οὕτως V. 22 ξυνενεχθὲν l, Hoesch.] ξυνεχθὲν V.
ἀπὸ Hoesch.] ἄπο V. 23 ἧττον A. 24 ῥωμαῖοι V] ῥωμαίων
A. 25 δυοδεκάτῃ scripsi] δυοδεκάτω V corr., δυωδεκάτω V
pr. m., A.

P 19 νυν οἱ λιθοδόμοι διώρυσσον οὗπερ ἐπεμνήσθην ἀρτίως,
κιβώτιον εὗρον γράμμασι σημαῖνον ὡς λείψανα ἔχοι τού-
5 των δὴ τῶν ἀνδρῶν. ὅπερ ἐξήνεγκε λεληθὸς τέως ἐξεπί-
τηδες ὁ θεός, ἅμα μὲν πιστούμενος ἅπαντας ὡς τὰ βασι-
λέως ἀσμενέστατα ἐνδέδεκται δῶρα, ἅμα δὲ καὶ τοῦ ἀν-
δρὸς τὴν ἀγαθοεργίαν ἀμείψασθαι διατεινόμενος χάριτι
6 μείζονι. ἐτύγχανε γὰρ Ἰουστινιανὸς βασιλεὺς χαλεπῶς
ἄγαν τοῦ σώματος ἔχων, ἐπεὶ ῥεύματος δεινόν τι χρῆμα
κατὰ τὸ γόνυ ἐπιπεσὸν συντριβῆναι ταῖς ὀδύναις τὸν
7 ἄνδρα ἐποίει· οὗπέρ οἱ αὐτὸς αἰτιώτατος ἦν. ἐν γὰρ ταῖς
ἡμέραις ἁπάσαις, αἵπερ τὴν Πασχαλίαν ἑορτὴν προτερεύ-
ουσαι νηστεῖαι καλοῦνται, σκληράν τινα βιοτὴν ἔσχε μὴ
ὅτι βασιλεῖ ἀλλόκοτον οὖσαν, ἀλλὰ καὶ ἀνθρώπῳ ἀμηγέπη
8 B 196 τῶν πολιτικῶν ἁπτομένῳ. δυοῖν γὰρ ἡμέραιν διεγεγόνει
ἐς ἀεὶ ἀπόσιτος ὤν, καὶ ταῦτα μὲν ὄρθρου βαθέος διηνεκὲς
ἐκ τῶν στρωμάτων ἐξανιστάμενος καὶ προεγρηγορὼς τῆς
πολιτείας, ἀεί τε αὐτῆς ἔργῳ καὶ λόγῳ διαχειρίζων τὰ
πράγματα, ὄρθριός τε καὶ μεσημβρινός, καὶ οὐδέν τι ἧσσον
9 ἐπινυκτίδιος. πόρρω γὰρ τῶν νυκτῶν ἐς κοίτην ἰὼν ἐξαν-
ίστατο αὐτίκα δὴ μάλα, ὥσπερ χαλεπῶς τοῖς στρώμασιν
10 ἔχων. καὶ ἡνίκα δέ που τροφὴν αἵροιτο, οἴνου μὲν καὶ
ἄρτου καὶ τῶν ἄλλων ἐδωδίμων ἐκτὸς ἔμενε, βοτάνας δὲ
ἤσθιε μόνον, καὶ ταύτας ἀγρίας ἐπὶ χρόνου μῆκος τετα-
ριχευμένας ἁλσί τε καὶ ὄξει, ὅ τε πότος αὐτῷ τὸ ὕδωρ
11 ἐγίνετο μόνον. οὐ μέντοι οὐδὲ τούτοις κατακορὴς γέ-
γονε πώποτε, ἀλλὰ καὶ ἡνίκα δαῖτα αἵροιτο, ἀπογευσά-
μενος τούτων δὴ τῶν αὐτῷ ἐδωδίμων, εἶτα μεθίει, οὔπω

14 cf. anecd. 13, 29—30.

9 συντριβῆναι] συντριβῇ V, ξυντριβῆναι A. 11 Πασχαλίαν Maltr.] πασχάλιον codd. 14 δυεῖν A. 15 μὲν ὄρθρου βαθέος V] ὄρθρου μὲν βαθέως A. διηνεκὲς om. A. 24 πότος Maltr.] ποτὸς codd.

ἐδηδοκὼς τὰ αὐτάρκη. ἐντεῦθεν τοίνυν τὸ πάθος ἀκμά- 12
σαν τὴν ἀπὸ τῶν ἰατρῶν ἐπικουρίαν ἐνενικήκει, καὶ χρό-
νος τῷ βασιλεῖ πολὺς ἐν ταύταις δὴ ταῖς ὀδύναις ἐτρίβη.
μεταξὺ δὲ τὰ περὶ τῶν δεδηλωμένων λειψάνων ἀκούσας, 13
τῆς ἀνθρωπείας ἀφέμενος τέχνης, ἐπὶ ταῦτα τὸ πρᾶγμα
ἦγε, τὴν ὑγείαν ἐπισπώμενος τῇ ἐς αὐτὰ πίστει, καὶ δό-
ξης τῆς ἀληθοῦς ἐν τοῖς ἀναγκαιοτάτοις ἀπώνατο. οἱ 14
μὲν γὰρ ἱερεῖς τὸν δίσκον ἐπὶ τὸ τοῦ βασιλέως ἐτίθεντο
γόνυ, ἀφανίζεται δὲ τὸ πάθος εὐθύς, σώμασι δεδουλω-
μένοις θεῷ βιασθέν. ὅπερ ἀμφίλεκτον ὁ θεὸς οὐ ξυγ-
χωρῶν εἶναι, σημεῖον τῶν πραττομένων ἐνδέδεικται
μέγα. ἔλαιον γὰρ ἐξαπιναίως ἐπιρρεῦσαν μὲν ἐκ τούτων 15
δὴ τῶν ἁγίων λειψάνων, ὑπερβλύσαν δὲ τὸ κιβώτιον,
τώ τε πόδε καὶ τὴν ἐσθῆτα τοῦ βασιλέως κατέκλυσεν ὅλην
ἁλουργὸν οὖσαν. διὸ δὴ ὁ χιτὼν οὕτω καταβεβρεγμένος 16 B 197
διασώζεται ἐν τοῖς βασιλείοις, μαρτύριον μὲν τῶν τηνι-
κάδε γεγενημένων, σωτήριον δὲ τοῖς ἐς τὸ ἔπειτα πάθεσι
περιπεσουμένοις τισὶν ἀνηκέστοις.

η΄. Οὕτω μὲν οὖν ὑπογέγραπται Ἰουστινιανῷ βασιλεῖ P 20
τὸ Κέρας ὁ κόλπος. καὶ πορθμοῖν δὲ τοῖν ἄλλοιν δυοῖν,
ὧνπερ ἐπεμνήσθην ἀρτίως, οἰκοδομίαις τὰς ἠϊόνας ἐς μέγα
τι κάλλος ἐξείργασται τρόπῳ τοιῷδε. ἱερὰ δύο τῷ ἀρχ- 2
αγγέλῳ Μιχαὴλ ἀνειμένα καταντικρὺ ἀλλήλοιν ἑστῶτα
τοῦ πορθμοῦ ἑκατέρωθι ξυνέβαινεν εἶναι, θάτερον μὲν
ἐν χώρῳ καλουμένῳ Ἀνάπλῳ ἐν ἀριστερᾷ εἰσπλέοντι τὸν
Εὔξεινον Πόντον, τὸ δὲ δὴ ἕτερον ἐν τῇ ἀντιπέρας ἀκτῇ·
Προόχθους μὲν ἐκάλουν οἱ παλαιοὶ ἄνθρωποι τὴν ἀκτήν, 3 □
ὅτι δὴ προβέβληται, οἶμαι, κατὰ πολὺ τῆς ταύτῃ ἠϊόνος,
νῦν δὲ Βρόχοι ἐπικαλεῖται, διαφθειρούσης τὰ ὀνόματα τῆς

11 πρασσομένων A. 13 δὲ A] τε V 20 δυοῖν V pr. m.] δυεῖν V corr.

4 τῶν ἐπιχωρίων ἀγνοίας τῷ μήκει τοῦ χρόνου. ταῦτα δὲ
τὰ δύο τεμένη οἱ μὲν αὐτῶν ἱερεῖς κατερρακωμένα ὑπὸ
τοῦ χρόνου θεώμενοι καὶ περίφοβοι γεγενημένοι ὡς μὴ
αὐτίκα δὴ μάλα σφίσιν ἐμπέσοιεν, βασιλέως ἐδέοντο
ἀνοικοδομήσασθαι ἄμφω ἐφ' οὗπερ σχήματος τὸ πα-
5 λαιὸν ἦν. οὐ γὰρ οἷόν τε ἦν ἐπὶ τούτου βασιλεύοντος
ἐκκλησίαν τινὰ ἢ γίνεσθαι πρῶτον, ἢ καταπεπονηκυῖαν
ἐπανορθοῦσθαι, ὅτι μὴ ἐκ χρημάτων βασιλικῶν, οὐκ ἐν
Βυζαντίῳ μόνον, ἀλλὰ καὶ πανταχόθι τῆς Ῥωμαίων ἀρ-
6 χῆς. βασιλεὺς δὲ αὐτίκα τῆς προφάσεως τυχὼν τῇσδε
καθεῖλε μὲν ἑκάτερον ἐς τὸ ἔδαφος, ὡς μή τι αὐτοῖς τῆς
προτέρας ἀκοσμίας ἀπολειφθῆναι. ἀνῳκοδομήσατο δὲ τὸν
7 B 198 μὲν ἐπὶ τοῦ Ἀνάπλου τρόπῳ τοιῷδε. πετρῶν ἐμβολῇ
τὴν ἐκείνῃ ἀκτὴν εἴσω περιελίξας ἐς σκέπας λιμένος, τὴν
8 τῆς θαλάττης ἠϊόνα ἐς μεταμόρφωσιν ἀγορᾶς ἤνεγκεν. ἡσύ-
χιος γὰρ ὑπεράγαν ἐνταῦθα ἡ θάλασσα οὖσα τῇ γῇ ἐπι-
9 κοινοῦται συναλλαγάς. ταῖς τε ἀκάτοις οἱ τῶν ἐμπόρων
θαλάσσιοι παρὰ τὴν ἐμβολὴν τῶν πετρῶν ὁρμισάμενοι
συμβάλλονται τοῖς ἐγγείοις ἀπὸ τῶν καταστρωμάτων τὰ
10 ἐμπολήματα. αὐλὴ μετὰ τὴν παραλίαν ἀγορὰν τοῦ νεὼ
πρόκειται. καὶ μαρμάροις μὲν ὡραίοις τε καὶ χιόσιν ἡ
11 αὐλὴ τὸ χρῶμα ὁμοιοῖ. οἱ δὲ τοὺς περιπάτους τῇδε ποι-
ούμενοι εὐπρεπείᾳ μὲν ἥδονται λίθων, γεγήθασι δὲ θα-
λάσσης ὄψει, ἐναβρύνονται δὲ κοιναῖς ταῖς αὔραις ἔκ τε
τοῦ ῥοθίου ἐπεγειρομέναις καὶ λόφων ἐπανεστηκότων τῇ
12 γῇ. στοὰ τὸν νεὼν περιβάλλει ἐγκύκλιος ἐς τὰ πρὸς ἕω
διαλιποῦσα μόνον. ἐπὶ μέσης τὸ ἱερὸν χρώμασι μυρίοις
13 πεποίκιλται λίθων. ὄροφος ἐν θόλῳ μετάρσιος ὑπερηώ-

1—2 δὲ τὰ δύο V] δὲ δὴ τὰ A. 11 ἐς τὸ ἔδαφος V] ἕως ἐδάφους A. 21 ὡραίοις Hoesch.] ὡραίαις V. χιόσιν Maltr.] χίοσιν V.

ρηται. τί ἂν τις διαριθμησάμενος ἐπαξίως τοῦ ἔργου
φράσοι τὰς ἠωρημένας στοάς, τὰς ὑπεσταλμένας οἰκοδο- P 21
μίας, τὸ τῶν μαρμάρων ἐπίχαρι, οἷς δὴ οἵ τε τοῖχοι καὶ
τὰ ἐδάφη παντάπασι περιβέβληνται; πρὸς ἐπὶ τούτοις δὲ 14
καὶ χρυσοῦ πλῆθος ἐξαίσιον πανταχόσε τοῦ ἱεροῦ καθά-
περ αὐτῷ πεφυκὸς περικέχυται. τοσαῦτα εἰπόντι καὶ τὸ 15
Ἰωάννου τοῦ Βαπτιστοῦ τέμενός μοι δεδήλωται, ὅπερ αὐτῷ
βασιλεὺς Ἰουστινιανὸς ἔναγχος ἐν τῷ Ἑβδόμῳ καλου-
μένῳ ἀνέθηκεν. ἐμφερέστατα γὰρ ἄμφω ἀλλήλοιν τὰ τε- 16
μένη τυγχάνει ὄντα, πλήν γε δὴ ὅτι οὐκ ἐπιθαλάσσιον
τὸ τοῦ Βαπτιστοῦ ξυμβαίνει εἶναι.
Ὁ μὲν οὖν ἐν τῷ Ἀνάπλῳ καλουμένῳ τοῦ ἀρχαγγέλου 17
ναὸς τῇδε πεπόνηται. κατὰ δὲ τὴν ἀντιπέρας ἀκτὴν ὀλίγῳ 18
τῆς θαλάσσης διέχει τις χῶρος, ὁμαλὸς μὲν φύσιν, συν- B 199
θέσει δὲ λίθων ὑψοῦ ἀνέχων. ἐνταῦθα τὸ τοῦ ἀρχαγ- 19
γέλου δεδημιούργηται τέμενος, εὐπρεπείᾳ μὲν ἐξαίσιον,
μεγέθει δὲ πρῶτον, πολυτελείᾳ δὲ ἀνακεῖσθαι μὲν τῷ
Μιχαὴλ πρέπον, ἀναθεῖναι δὲ Ἰουστινιανῷ βασιλεῖ. τού- 20
του δὲ δὴ οὐ πολλῷ ἄποθεν τοῦ νεὼ τέμενος ἅγιον τῇ
θεοτόκῳ ἀνενεώσατο τρόπῳ τῷ αὐτῷ καταπεπονηκὸς πολλῷ
πρότερον, οὗ δὴ τὸ σεμνὸν μακρὸν ἂν εἴη καὶ διερευνή-
σασθαι καὶ λόγῳ σημῆναι· ἐκδέχεται δὲ ἡ πάλαι τῆς ἱστο-
ρίας προσδοκωμένη μοῖρα.
θ'. Ἐπὶ ταύτης δὴ τῆς ἀκτῆς ἀξιοθέατα ἐκ παλαιοῦ
βασίλεια ἐτύγχανεν ὄντα. ταῦτα βασιλεὺς Ἰουστινιανὸς
ἀνατέθεικε τῷ θεῷ ἅπαντα, τὸν ἐνθένδε τῆς εὐσεβείας
καρπὸν τῆς παραυτίκα παραψυχῆς ἀλλαξάμενος τρόπῳ
τοιῷδε. ὅμιλος ἦν ἐπὶ Βυζαντίου γυναίων ἐν μαστρο- 2

28 cf. anecd. 17, 5.

8 Ἰουστινιανὸς V] οὗτος A. 9 ἐμφερέστατα V] ἐμφερέστατον A. 26 ἀνατέθεικε V] ἀνέθηκε A. 28 βηζαντίου V.

πείῳ λελαγνευμένων οὐχ ἑκούσιον, ἀλλὰ βιαίαν τινὰ μι-
3 σητίαν. τῆς γὰρ πενίας τῷ ὑπερβάλλοντι ὑπὸ πορνο-
βοσκῷ τρεφομέναις ἀεὶ καὶ καθ' ἑκάστην ἀκολασταίνειν
ἐπάναγκες ἦν, ἀνδράσι τε ἀγνῶσι καὶ παραπεπτωκόσιν
4 ἐξαπιναίως ἐσποδιοῦντο συνδυαζόμεναι. πορνοβοσκῶν
γὰρ ἐνταῦθα ἦν ἐκ παλαιοῦ ἑταιρία πολλή, ἐπ' ἐργαστη-
ρίου τὸ τῆς ἀκολασίας διαχειριζόντων ἐμπόλημα, ἔν τε
τῷ δημοσίῳ τῆς ἀγορᾶς ὥραν ἀποδιδομένων τὴν ἀλλο-
5 τρίαν καὶ δουλαγωγούντων τὸ σῶφρον. βασιλεὺς δὲ Ἰου-
στινιανὸς καὶ βασιλὶς Θεοδώρα (τὴν γὰρ εὐσέβειαν ἀλλή-
λοις ἐπικοινούμενοι ἅπαντα ἔπρασσον) ἐπενόουν τάδε.
6 τὴν μὲν πολιτείαν τοῦ τῶν μαστροπείων ἄγους ἐκάθηραν,
B 200 ἐξελάσαντες τὸ τῶν πορνοβοσκῶν ὄνομα, τῶν δὲ γυναι-
P 22 κῶν τὰς πενίᾳ ταλαιπωρουμένας πολλῇ ἀκολασίας τῆς δου-
λοπρεποῦς ἠλευθέρωσαν, βίοτον μὲν σφίσιν αὐτόνομον,
ἐλευθέραν δὲ τὴν σωφροσύνην πεπορισμένοι. ταῦτα μὲν
7 οὖν διῳκήσαντο τῇδε. παρὰ ταύτην δὲ τοῦ πορθμοῦ τὴν
ἀκτήν, ἣ ἐστιν ἐν δεξιᾷ εἰσπλέοντι τὸν Εὔξεινον καλού-
μενον Πόντον, βασίλεια πρότερον ὄντα μοναστήριον με-
γαλοπρεπὲς κατεστήσαντο καταγώγιον ταῖς μεταμελου-
□ 8 μέναις γυναιξὶν ἐπὶ τῷ προτέρῳ βίῳ ἐσόμενον· ἐφ' ᾧ
τῇ ἐνταῦθα περί τε τὸν θεὸν καὶ τὴν εὐσέβειαν ἀσχολίᾳ
γενησομένῃ περικαθῆραι τὰς ἁμαρτάδας δυναταὶ εἶεν τῆς
9 ἐν μαστροπείῳ διαίτης. διὸ δὴ καὶ Μετάνοιαν τοῦτο δὴ
τῶν γυναικῶν τὸ διαιτητήριον ὁμωνύμως τῷ ἔργῳ ἐπο-
10 νομάζουσι. καὶ πολλαῖς μὲν χρημάτων προσόδοις οἱ βα-
σιλεῖς οὗτοι τὸ μοναστήριον δεδώρηνται τοῦτο, πολλὰ

4 τε V] om. A. 6 ἑταιρεία A. 7 ἐμπώλημα V. 10 βασιλὶς V] ἡ βασιλὶς A. 12 δὲ Maltr.] τε codd. 16 ἐλευθέραν scripsi] ἐλευθερίαν codd., δόντες, ἐλευθέραν Hoesch. in marg., ἐλευθερίαν Maltr. 17—18 παρὰ — ἀκτήν V] ἐπὶ ταύτης δὲ ⟨ἐπ'⟩ τῆς ἀκτῆς A. 20 κατεστήσατο A.

δὲ οἰκία κάλλει τε καὶ πολυτελείᾳ διαφερόντως ἐξαίσια,
ταῖς γυναιξὶ παραψυχὴν ἐσόμενα, ᾠκοδομήσαντο, ὡς
μηδενὶ ἀναγκασθεῖσαι πρὸς τὰ τῆς σωφροσύνης ἐπιτη-
δεύματα τρόπῳ ὁτῳοῦν ἀποκνήσουσι. ταῦτα μὲν οὖν
τῇδέ πη ἔχει.

Ἐς δὲ τὸν Εὔξεινον Πόντον ἐνθένδε ἰόντι ἄκρα τις 11
ἀπορρὼξ παρὰ τὴν τοῦ πορθμοῦ προβέβληται ἠϊόνα, ἐφ'
ἧς μαρτύριον Παντελεήμονος ἁγίου εἱστήκει, ἀρχήν τε
ἀπημελημένως πεποιημένον καὶ χρόνῳ μακρῷ πεπονη-
κὸς ἄγαν ὅπερ ἐνθένδε περιελὼν Ἰουστινιανὸς βασι-
λεύς, τοῦτόν τε μεγαλοπρεπῶς τὰ μάλιστα οἰκοδομησά-
μενος τὸν ἐκείνῃ τανῦν ὄντα νεών, τῷ τε μάρτυρι διεσώ-
σατο τὴν τιμὴν καὶ τῷ πορθμῷ κάλλος ἐντέθεικεν, ἑκα-
τέρωθι τὰ ἱερὰ ταῦτα πηξάμενος. τούτου δὲ τοῦ τεμέ- 12
νους ἐπίπροσθεν ἐν χώρῳ τῷ καλουμένῳ Ἀργυρωνίῳ
πτωχῶν ἦν ἐκ παλαιοῦ καταγώγιον, οἷσπερ ἡ νόσος τὰ B 201
ἀνήκεστα ἐλωβήσατο. ὅπερ τῷ χρόνῳ διερρωγὸς ἤδη τὰ 13
ἔσχατα προθυμίᾳ τῇ πάσῃ ἀνενεώσατο, γενησόμενον τοῖς
οὕτω ταλαιπωρουμένοις ἀνάπαυλαν. ἀκτὴ δέ τίς ἐστι
Μωχάδιον ὄνομα τοῦ χώρου ἐγγύς, ὃ καὶ νῦν Ἱερὸν ὀνομά-
ζεται. ἐνταῦθα νεὼν τῷ ἀρχαγγέλῳ ἄλλον ἐδείματο ἱερο- 14
πρεπῆ τε διαφερόντως, καὶ τῶν τοῦ ἀρχαγγέλου ἱερῶν,
ὧνπερ ἐπεμνήσθην ἀρτίως, οὐδενὸς ἀξιώματι ἀποδέοντα.
καὶ Τρύφωνι δὲ ἀνέθηκεν ἱερὸν μάρτυρι πόνῳ τε καὶ 15
χρόνῳ πολλῷ ἐς κάλλος ἀποτετορνευμένον ἀμύθητον ὅλως
ἐν τῇ τῆς πόλεως ἀγυιᾷ, ἣ τοῦ Πελαργοῦ ἐπώνυμός
ἐστιν. ἔτι δὲ Μηνᾷ καὶ Μηναίῳ μάρτυσιν ἕδος ἐν τῷ 16

12 Georg. Cod. de aed. CP. 104, 12.

2 ἐσόμενα l] ἐσομένην VA. 3 μηδενὶ V] μηδὲν A. 4 ἀποκνήσουσι V] ἀποκνήσωσι A. 21 νεὼν A] ναὸν V. ἄλλον om. V in contextu, sed pr. m. adscriptum est in marg. 25 ἀποτετορνευμένου A. 26 ἀγυᾶι V. πελάργου Maltr., Dind., παλαργοῦ V.

Ἑβδόμῳ ἀνέθηκεν. ἐν ἀριστερᾷ δὲ εἰσιόντι ἐς τὰς Χρυσᾶς
καλουμένας Πύλας Ἴας ἁγίας μαρτύριον εὑρὼν καταπε-
17 πτωκός, πολυτελείᾳ τῇ πάσῃ ἀνενεώσατο. τὰ μὲν οὖν
ἀμφὶ τοῖς ἐν Βυζαντίῳ ἱεροῖς εἰργασμένα Ἰουστινιανῷ
βασιλεῖ τοιαῦτά ἐστι, τὰ δὲ ἀνὰ πᾶσαν διαπεπονημένα
τὴν Ῥωμαίων ἀρχὴν ἕκαστα διαριθμεῖσθαι χαλεπόν τέ
18 ἐστι καὶ λόγῳ παντελῶς ἄπορον. ἀλλ' ἡνίκα ἡμῖν δεήσει
πόλεως ἢ χωρίου του πρὸς ὄνομα ἐπιμνησθῆναι, καὶ
τὰ ἐνταῦθα ἱερὰ ἐν ἐπιτηδείῳ γεγράψεται.

P 23 ι'. Τὰ μὲν οὖν ἀμφὶ τοῖς ἱεροῖς ἔν τε Κωνσταντινου-
πόλει καὶ τοῖς τῇδε προαστείοις οὕτως Ἰουστινιανῷ δε-
2 δημιούργηται βασιλεῖ· τῶν δὲ δὴ ἄλλων αὐτῷ οἰκοδο-
μημάτων πεποιημένων ἕκαστον μὲν ἐπελθεῖν οὐ ῥᾴδιον
λόγῳ, ὡς ἐν κεφαλαίῳ δὲ φράσαι, τά τε πλεῖστα καὶ ἀξιο-
λογώτατα τῆς τε ἄλλης πόλεως καὶ τῶν βασιλείων κατα-
φλεχθέντα τε καὶ καθῃρημένα ἐπ' ἔδαφος ἀνοικοδομησά-
μενος ἅπαντα ἐπὶ τὸ εὐπρεπέστερον μετεστήσατο· ἅπερ μοι
B 202 ἐν τῷ παρόντι λεπτολογεῖσθαι οὔτι ἀναγκαῖον ἔδοξεν
3 εἶναι. ἅπαντα γάρ μοι ἐς τὸ ἀκριβὲς ἐν τοῖς ὑπὲρ τῶν
πολέμων δεδήλωται λόγοις. τοσοῦτον δὲ μόνον ἔν γε τῷ
παρόντι γεγράψεται, ὡς τῶν βασιλείων τά τε προπύλαια
καὶ ἡ καλουμένη Χαλκῆ μέχρι ἐς τὸν Ἄρεως καλούμενον
οἶκον, ἔκ τε τῶν βασιλείων τό τε βαλανεῖον ὁ Ζεύξιππος
αἵ τε μεγάλαι στοαὶ καὶ τὰ ἑκατέρωθεν ἑξῆς ἅπαντα μέ-
χρι ἐς τὴν ἀγοράν, ἣ Κωνσταντίνου ἐπώνυμός ἐστι, τού-
4 του δὴ ἔργα τοῦ βασιλέως τυγχάνει ὄντα. πρὸς ἐπὶ τού-
τοις δὲ τὴν Ὁρμίσδα ἐπώνυμον οἰκίαν, ἄγχιστα οὖσαν

19 cf. I 124, 26.

2—3 καταπεπτωκὸς V] καταπεπονηκὸς A. 18 οὔτι V] οὔτι μοι A. 22 Ἄρεως Maltr., ἀρέας V, ἀραιᾶς A, cf. I 125, 2. καλούμενον V] λεγόμενον A.

τῶν βασιλείων, παραλλάξας τε καὶ ὅλως ἐς τὸ ἐπιφανέ-
στερον μεθαρμοσάμενος, ὡς τοῖς βασιλείοις ἐπιεικῶς πρέ-
πειν, τῷ Παλατίῳ ἐντέθεικεν, εὐρύτερόν τε αὐτὸ καὶ
πολλῷ ἔτι μᾶλλον ἀξιώτερον ταύτῃ ἐξείργασται.
Ἔστι δέ τις ἀγορὰ πρὸ τῶν βασιλείων περίστυλος. Αὐ- 5
γουσταῖον καλοῦσι τὴν ἀγορὰν οἱ Βυζάντιοι. ταύτης ἐν
λόγοις ἐπεμνήσθην τοῖς ἔμπροσθεν, ἡνίκα τῆς Σοφίας
περιηγησάμενος τὸν νεὼν τὴν ἐπὶ τῷ ἔργῳ χαλκῆν εἰκόνα
τῷ βασιλεῖ ἐπὶ κίονος ὑψηλοτάτου καὶ λίθοις συνθέτου
ἀνατεθεῖσαν δεδήλωκα. ταύτης ἐς τὰ πρὸς ἕω τῆς ἀγο- 6
ρᾶς τὸ Βουλευτήριον ἵδρυται, λόγου μὲν τῇ τε πολυτε-
λείᾳ καὶ τῇ κατασκευῇ τῇ πάσῃ κρεῖττον, Ἰουστινιανοῦ
δὲ βασιλέως ἔργον. ἔνθα δὴ ξυνιοῦσα ἔτους ἀρχομένου 7
ἡ Ῥωμαίων βουλὴ σύγκλητος ἐνιαύσιον ἑορτὴν ἄγει, τὰ
τῆς πολιτείας ὀργιάζουσα ἐς ἀεὶ νόμιμα. ἓξ δὲ αὐτοῦ 8
κίονες ἐπίπροσθεν ἑστᾶσιν, οἱ μὲν δύο τὸν τοῦ βουλευ-
τηρίου τοῖχον ἐν μέσῳ ἔχοντες, ὃς πρὸς δύοντα ἥλιον
τέτραπται, οἱ δὲ τέσσαρες ὀλίγῳ ἐκτός, τὸ μὲν εἶδος λευ- B 203
κοὶ ἅπαντες, μέγεθος δὲ πρῶτοι τῶν ἐν γῇ, οἶμαι, κιό-
νων τῇ πάσῃ. στοὰν δὲ ποιοῦσιν οἱ κίονες ὄροφον ἐν 9
θόλῳ ἑλίττουσαν, τὰ δὲ ἄνω τῆς στοᾶς ἅπαντα μαρμά-
ρων μὲν κάλλει διακεκόσμηται τοῖς κίοσι τὸ εἶδος ἴσων,
ἀγαλμάτων δὲ πλήθει ὑπεράνω ἑστώτων θαυμασίως ὡς
ὑπογέγραπται.
Ταύτης δὲ τῆς ἀγορᾶς οὐ πολλῷ ἄποθεν τὰ βασι- 10
λέως οἰκία ἐστί, καὶ νέα μὲν τὰ βασίλεια σχεδόν τι πάντα,
Ἰουστινιανῷ δέ, ἧπέρ μοι εἴρηται, δεδημιούργηται βασι-
λεῖ, φράσαι δὲ αὐτὰ λόγῳ ἀμήχανά ἐστιν, ἀλλ' ἀποχρή-
σει μὲν τοὺς γενησομένους εἰδέναι ὅτι δὴ ἅπαντα τού-

5—6 cf. supra ae. cap. I 2, 1.

25 δὲ V] δὴ A. τὰ V] τοῦ A. 26 οἰκία A] οἰκεῖά V.

11 P 24 του δὴ ἔργον τοῦ βασιλέως τυγχάνει ὄντα. ὥσπερ δέ
φασι, τὸν λέοντα ἐξ ὄνυχος ἴσμεν, καὶ τούτων δὴ οὕτω
τῶν βασιλείων τὴν δύναμιν ἐκ τοῦ προτεμενίσματος οἱ
τάδε ἀναλεγόμενοι εἴσονται. τοιοῦτον δὲ τὸ προτεμέ-
12 νισμά ἐστιν ὃ καλοῦσι Χαλκῆν. ὄρθιοι τοῖχοι οὐρανομή-
κεις ἐν τετραγώνῳ ἑστᾶσι τέσσαρες, τὰ μὲν ἄλλα ἰσοστά-
σιοι ἀλλήλοις ὄντες, μήκει δὲ ἄμφω, ὅ τε πρὸς μεσημ-
βρίαν τετραμμένος καὶ βορρᾶν ἄνεμον, τῶν ἑτέρων οὐ
13 παρὰ πολὺ ἀποδέοντες. προβέβληται δέ τις ἀμφὶ τὴν γω-
νίαν αὐτῶν ἑκάστου λίθων εὖ μάλα εἰργασμένων ἀνά-
στασις, τῷ τοίχῳ μέχρι ἐς τὴν ὑπερβολὴν ἐξ ἐδάφους συν-
αναβαίνουσα, τετράπλευρος μέν, ἐνημμένη δὲ κατὰ τὴν
μίαν τῷ τοίχῳ πλευράν, οὐ διακόπτουσα τοῦ χώρου τὸ
κάλλος, ἀλλά τι καὶ κόσμου αὐτῷ ἐντιθεῖσα τῇ τοῦ ἐμ-
14 φεροῦς ἁρμονίᾳ. ὑπερῃώρηνται δὲ αὐτῶν ἀψῖδες ὀκτώ, τέσ-
σαρες μὲν ἀνέχουσαι τὸν ἐν μέσῳ τοῦ παντὸς ὄροφον ἐν
σφαιροειδεῖ μεταρσίῳ ἐπικυρτούμενον, αἱ δὲ δὴ ἄλλαι δύο
μὲν πρὸς νότον, δύο δὲ πρὸς βορρᾶν ἄνεμον τῷ γειτνιῶντι
B 204 ἐναπερειδόμεναι τοίχῳ, τὸ μεταξὺ τέγος ἐν θόλῳ ᾐωρημέ-
15 νον ἐξαίρουσιν. ἐναβρύνεται δὲ ταῖς γραφαῖς ἡ ὀροφὴ πᾶσα,
οὐ τῷ κηρῷ ἐντακέντι τε καὶ διαχυθέντι ἐνταῦθα παγεῖσα,
ἀλλ' ἐναρμοσθεῖσα ψηφῖσι λεπταῖς τε καὶ χρώμασιν ὡραϊσ-
μέναις παντοδαποῖς· αἳ δὴ τά τε ἄλλα πάντα καὶ ἀν-
16 θρώπους ἀπομιμοῦνται. ὁποῖα δὲ αὐτῶν τὰ γράμματά
ἐστιν ἐγὼ δηλώσω. ἐφ' ἑκάτερα μὲν πόλεμός τέ ἐστι καὶ
μάχη, καὶ ἁλίσκονται πόλεις παμπληθεῖς πῆ μὲν Ἰταλίας,
πῆ δὲ Λιβύης· καὶ νικᾷ μὲν βασιλεὺς Ἰουστινιανὸς ὑπὸ

5 Mal. 479, 16.

11—12 συναναβαίνουσα V] ἀναβαίνουσα A. 14 κόσμου A] κόσμον V. 15 ἀψῖδες V, ἀψίδες A. 23 παντοδαποῖς V] παντοδαπαῖς A. 26—27 πῆ — πῆ Dind.] πῆ — πῆ codd.

στρατηγοῦντι Βελισαρίῳ, ἐπάνεισι δὲ παρὰ τὸν βασιλέα,
τὸ στράτευμα ἔχων ἀκραιφνὲς ὅλον ὁ στρατηγός, καὶ δί-
δωσιν αὐτῷ λάφυρα βασιλεῖς τε καὶ βασιλείας, καὶ
πάντα τὰ ἐν ἀνθρώποις ἐξαίσια. κατὰ δὲ τὸ μέσον ἑστᾶ- 17
σιν ὅ τε βασιλεὺς καὶ ἡ βασιλὶς Θεοδώρα, ἐοικότες ἄμφω
γεγηθόσι τε καὶ νικητήρια ἑορτάζουσιν ἐπί τε τῷ Βαν-
δίλων καὶ Γότθων βασιλεῖ, δορυαλώτοις τε καὶ ἀγωγί-
μοις παρ' αὐτοὺς ἥκουσι. περιέστηκε δὲ αὐτοὺς ἡ Ῥω- 18
μαίων βουλὴ σύγκλητος, ἑορτασταὶ πάντες. τοῦτο γὰρ
αἱ ψηφῖδες δηλοῦσιν ἐπὶ τοῖς προσώποις ἱλαρὸν αὐτοῖς
ἐπανθοῦσαι. γαυροῦνται οὖν καὶ μειδιῶσι τῷ βασιλεῖ νέ- 19
μοντες ἐπὶ τῷ ὄγκῳ τῶν πεπραγμένων ἰσοθέους τιμάς·
ἠμφίασται δὲ μαρμάρων εὐπρεπείᾳ τὰ ἐντὸς ἅπαντα μέ-
χρι ἐς τὰς ὑπεράνω ψηφῖδας, οὐχ ὅσα ἐπανέστηκε μόνον,
ἀλλὰ καὶ τὸ ἔδαφος ἐφεξῆς ὅλον. τῶν δὲ μαρμάρων ἔνια 20
μὲν λίθου Σπαρτιάτου ἐκεῖ σμαράγδῳ ἴσα, ἔνια δὲ πυρὸς
φλόγα μιμοῦνται· λευκὸν δὲ τῶν πλειόνων τὸ εἶδος, οὐ
λιτὸν μέντοι, ἀλλ' ὑποκυμαίνει κυαναυγεῖ ὑπογεγραμ-
μένον μεταξὺ χρώματι. ταῦτα μὲν οὖν τῇδέ πῃ ἔχει.

ια'. Ἐκ δὲ τῆς Προποντίδος ἐσπλέοντι ἐς τὰ πρὸς ἕω B 205 P 25
τῆς πόλεως, βαλανεῖον ἐν ἀριστερᾷ ἐν δημοσίῳ ἐστίν,
ὅπερ Ἀρκαδιαναὶ μὲν ἐπικαλεῖται, Κωνσταντινούπολιν
δὲ πηλίκην οὖσαν ἐπικοσμεῖ. αὐλὴν ἐνταῦθα ὁ βασιλεὺς 2
οὗτος ἐδείματο, τῆς μὲν πόλεως προβεβλημένην, καὶ τοῖς
μὲν ἐκείνῃ διατριβὴν ἔχουσιν ἐς περιπάτους ἀεὶ ἀνειμέ-
νην, ἐς δὲ τὸ ἐνορμίσασθαι τοῖς περιπλέουσι. ταύτην ἥλιος 3
καταλάμπει μὲν ἀνίσχων τῇ αἴγλῃ, ἐκτρεπόμενος δὲ ἀμφὶ
τὰ πρὸς ἑσπέραν ἐν ἐπιτηδείῳ ἐπισκιάζει. ταύτην ἡ θά-

1 βελλισαρίω V. παρὰ A] περὶ V. 5 τε V] om. A. 6 τῷ V] τῶν A. 6—7 βανδήλων V. 7 βασιλεῖ codd.] βασιλεῦσι Maltr. δωρυαλώτοις V. 8 αὐτοὺς 1 A] αὐτοῖς V. 19 οὖν V] om. A. 21 ἐν δημοσίῳ ἐστὶν V] ἐστὶν ἐν δημοσίῳ A.

λασσα περιρρεῖ ἀτρεμὴς ἐν ἡσυχίᾳ περιχεομένη τῷ ῥεί-
θρῳ, ποταμοῦ τρόπον ἐκ πόντου ἰοῦσα· ὥστε καὶ προσ-
διαλέγονται τοῖς περιπλέουσιν οἱ τοὺς περιπάτους ποιού-
4 μενοι. ἡ γὰρ θάλασσα κατατείνουσα μὲν ἐς ἄβυσσον
μέχρι ἐς τῆς αὐλῆς τὴν κρηπῖδα πλώιμος ἐνταῦθα ταῖς
ναυσὶ γίνεται, τῆς δὲ γαλήνης τῷ ὑπερβάλλοντι τοὺς
ἑκατέρωθι ὄντας ἐπιμίγνυσιν ἐς τοὺς διαλόγους ἀλλή-
5 λοις. τὰ μὲν οὖν κατὰ τῆς θαλάσσης τὸ γειτόνημα τῇ
αὐλῇ τῇδέ πῃ ἔχει, καλλωπιζομένῃ μὲν τῇ ἐς αὐτὴν ὄψει,
περιπνεομένῃ δὲ ἁπαλαῖς οὔσαις ταῖς ἀπ' αὐτῆς αὔραις.
6 καὶ κιόνων δὲ καὶ μαρμάρων κάλλει ὑπερφυεῖ τά τε αὐτῆς
ἐδάφη καὶ τὰ ὕπερθεν καλύπτεται πάντα· ὧν ἡ αἴγλη
ὑπεράγαν λευκή τίς ἐστι, ταῖς τοῦ ἡλίου αὐγαῖς ἐπιει-
7 κῶς ἀπαστράπτουσα. καὶ μὴν καὶ εἰκόνες αὐτὴν κοσ-
μοῦσι παμπληθεῖς, αἱ μὲν χαλκαῖ, αἱ δὲ τῷ λίθῳ ἐπιξυ-
σθεῖσαι, θέαμα λόγου πολλοῦ ἄξιον. εἰκάσαις ἂν ἢ Φει-
δίου τοῦ Ἀθηναίου ἢ τοῦ Σικυωνίου Λυσίππου ἔργον ἢ
8 Πραξιτέλους αὐτὰς γεγονέναι. ἐνταῦθα καὶ Θεοδώρα ἡ
βασιλὶς ἐπὶ κίονος ἕστηκε· τοῦτο γὰρ ἀνατέθεικεν ἡ πό-
9 B 206 λις αὐτῇ ὑπὲρ τῆς αὐλῆς χαριστήριον. καὶ ἡ μὲν εἰκὼν
εὐπρόσωπος, ἀλλὰ τῆς βασιλίδος τῷ κάλλει ἐλάσσων, ἐπεὶ
αὐτῆς τὴν εὐπρέπειαν λόγῳ τε φράσαι καὶ ἰνδάλματι
ἀπομιμεῖσθαι ἀνθρώπῳ γε ὄντι παντάπασιν ἀμήχανα ἦν·
ἁλουργὸς δὲ ὁ κίων καὶ πρὸ τοῦ ἐκτυπώματος ὅτι δὴ βα-
σιλίδα φέρει διαφανῶς ἐνδεικνύμενος.
10 Ὅπερ δὲ ὕδατος εὐπορίας πέρι ἐνταῦθα διαπεπόνηται
τῷ βασιλεῖ τούτῳ αὐτίκα δηλώσω. θέρους ὥρᾳ ἡ βασι-

26 cf. anecd. 26, 23.

1 ἡσυχία V] ἡσυχίᾳ A. 2 ἰοῦσα Hoesch.] ἰοῦσαν V. 5 πλώι-
μος l, Hoesch.] πλόϊμος V. 9 τῇδέ V] ταύτῃ A. 12 ὕπερθε A.
19 ἕστηκε V] ὑψηλοῦ ἵσταται A. 21 τῷ κάλλει codd.] τὸ κάλ-
λος Maltr. 23 ἀμήχανα V] ἀμήχανον A.

λὶς πόλις ὕδατος ὑπεσπάνιζεν ἐκ τοῦ ἐπὶ πλεῖστον, καί-
περ ἐς τοὺς ἄλλους καιροὺς διαρκὲς ἔχουσα. τοῦ γὰρ 11
καιροῦ τηνικάδε αὐχμοὺς ἔχοντος ἐλασσόνως ἢ κατὰ τὰς
ἄλλας ὥρας αἱ πηγαὶ τὸ ὕδωρ ἀποβλυστάνουσαι καταδε-
εστέραν παρείχοντο τὴν ὀχεταγωγίαν τῇ πόλει. διὸ δὴ 12
ὁ βασιλεὺς ἐπενόει τοιάδε. κατὰ τὴν βασιλέως στοάν,
ἵνα δὴ τὰς δίκας παρασκευάζονται οἵ τε ῥήτορες καὶ εἰσα-
γωγεῖς καὶ εἴ τινες ἄλλοι τοῦ ἔργου τούτου ἐπιμελοῦνται,
αὐλή τίς ἐστιν ὑπερμεγέθης, περιμήκης μὲν καὶ εὖρους P 26
ἱκανῶς ἔχουσα, ἐν τετραπλεύρῳ δὲ περίστυλος οὖσα, οὐκ
ἐπὶ γεώδους ἐδάφους τοῖς αὐτὴν δειμαμένοις, ἀλλ' ἐπὶ
πέτρας πεποιημένη. στοαί τε τὴν αὐλὴν περιβάλλουσι 13
τέσσαρες, κατὰ πλευρὰν ἑκάστην ἑστῶσαι. ταύτην τε οὖν
καὶ τῶν στοῶν μίαν, ἥπερ αὐτῆς τέτραπται πρὸς ἄνεμον
νότον, ἐς βάθους μέγα τι χρῆμα κατορύξας Ἰουστινιανὸς
βασιλεύς, ἀποβαλλομένοις τῇ περιουσίᾳ κατὰ τὰς ἄλλας
ὥρας τοῖς ὕδασιν ἐς θέρος ἐν ἐπιτηδείῳ θησαυρὸν ἔθετο.
δεχόμενα γὰρ τὰ ἔλυτρα τάδε τοῦ ὀχετοῦ τὴν ἐπιρροὴν 14
ὑπερβλύζοντος στενοχωρουμένοις μὲν τοῖς ὕδασι τότε
χαρίζεται χώραν, ποθεινῶν δὲ αὐτῶν γινομένων ἐπὶ και-
ροῦ τοῖς δεομένοις παρέχεται πόρον. οὕτω μὲν μὴ προσ- 15 B 207
δεῖν Βυζαντίοις ποτίμων ὑδάτων βασιλεὺς Ἰουστινιανὸς
διεπράξατο.
Καὶ βασίλεια δὲ ἀλλαχόθι δεδημιούργηκεν αὐτὸς καιν- 16
ουργήσας ἔν τε τῷ Ἡραίῳ, ὃ νῦν Ἱερὸν ὀνομάζουσι,
καὶ Ἰουκουνδιάναις ταῖς καλουμέναις· ὧν δὴ οὔτε τὸ
μεγαλοπρεπὲς σὺν τῷ ἐς τέχνην ἠκριβωμένῳ, οὔτε τὸν

24 cf. Hammer II 327. 25 Georg. Cod. de aed. CP. 117, 7.

3 ἐλασσόνως ἢ V] ἔλλον ὡς ἢ A. 10 περίστυλος οὖσα Maltr.]
περίστυλος ὅσα V, περίστυλος A. 11 δειμαμένοις Maltr.] δημα-
μένοις V, δεομένοις Hoesch. 26—27 οὔτε — οὔτε Dind.] οὐδὲ
— οὐδὲ codd.

ὄγκον ἂν σὺν τῷ εὐπρεπεῖ λόγῳ φράσαι ποτὲ ἱκανῶς
17 ἔχοιμι. ἀλλ' ἀποχρήσει ταῦτα εἰπεῖν βασίλειά τε εἶναι
καὶ πρὸς Ἰουστινιανοῦ γεγονέναι παρόντος τε καὶ ἐπι-
τεχνωμένου, καὶ οὐδενὸς ἀπεριόπτου, ὅτι μὴ χρημάτων,
καθισταμένου. ταῦτα γὰρ οὐχ οἷόν τέ ἐστι μὴ καὶ λόγου
18 κρατεῖν. ἐνταῦθα δὲ καὶ λιμένων σκέπας ἀποτετόρνευται
οὐ πρότερον ὄν. ἀκτὴν γὰρ εὑρὼν ἑκατέρωθι τοῖς τε
ἀνέμοις καὶ ταραχῇ τοῦ ῥοθίου ἀποκειμένην, σωτήριον
19 εἶναι τοῖς πλέουσι κατεστήσατο ὧδε. τὰς κιβωτοὺς κα-
λουμένας ἀναρίθμους τε καὶ παμμεγέθεις πεποιημένος,
ἀμφοτέρωθέν τε αὐτὰς τῆς ἠϊόνος ἐπὶ πλεῖστον ἐγκαρ-
σίας ἀπορριψάμενος, ἀεί τε τῶν προτέρων καθύπερθεν
ἑτέρων ἐν τάξει ἐπιβολὴν ἐντιθέμενος, τοίχους πλαγίους
ἀπ' ἐναντίας ἀλλήλων ἀνέστησε δύο ἐκ τῶν τῆς ἀβύσσου
κρηπίδων μέχρι ἐς τὸ ὕδωρ, ᾧ δὴ αἱ νέες ἐναπερειδό-
20 μεναι πλέουσι. πέτρας τε τὸ λοιπὸν ἀποτόμους ταύτῃ
ἐμβέβληται. ὧν δὴ πρὸς τοῦ ῥοθίου ἀρασσομένων, ἀπο-
κρουομένων τε τὴν τοῦ κλυδωνίου ἐπίθεσιν, καὶ ἀνέμου
χειμῶνος ὥρᾳ καταβάντος σκληροῦ, διαμένει τὰ ἐντὸς
ἡσυχῇ ἅπαντα τῶν τοίχων, μεταξὺ μιᾶς ἀπολελειμμένης
21 ἐπὶ τὸν λιμένα τοῖς πλοίοις εἰσόδου. ἐνταῦθα δὲ καὶ
ἱερὰ τεμένη πεποίηται, ἧπέρ μοι ἔμπροσθεν δεδιήγηται,
B 208 καὶ στοάς τε καὶ ἀγορὰς καὶ λουτρῶνας ἐν δημοσίῳ καὶ
τὰ ἄλλα σχεδόν τι πάντα· ὥστε δὴ ταῦτα τῶν ἐν τῇ
22 πόλει βασιλείων ἐλασσοῦσθαι μηδέν. καὶ λιμένα δὲ ἄλ-

21 sc. I 3, 9.

6 λιμένων V] om. A. ἀποτετόρ/ευται V, ἀποτετόρευται A. 8 ταραχῇ τοῦ ῥοθίου V] τῷ ῥοθίῳ A. 11 τε αὐτὰς V] τε om. A. 10 ἀναρρίθμους A. 13 ἐπιβολὴν V] ὑπερβολὴν A. ἐν-τιθέμενος V] ἐνθέμενος A. 14 ἀπ' ἐναντίας A] ἀπεναντίους V. 17 ἐμβέβληται V] ἐμβέβληκεν A. 21 δὲ V] om. A. 22 τε V] om. A. ἀγορὰς V] ἀγυιὰς A.

λον ἐνεκτήνατο ἐν τῇ ἀντιπέρας ἠπείρῳ, ἐν τοῖς Εὐτρο-
πίου ἐπωνύμοις, τοῦ Ἡραίου τοῦδε οὐ πολλῷ ἄποθεν,
κατὰ ταὐτὰ εἰργασμένον τοῖς ἄλλοις, ὧνπερ ἐπεμνήσθην
ἀρτίως.

Τὰ μὲν οὖν Ἰουστινιανῷ βασιλεῖ ἐν πόλει δεδημιουρ- 23
γημένα τῇ βασιλίδι, ὡς διὰ βραχυτάτων εἰπεῖν, ταύτῃ
πῃ ἔχει. ὃ δὲ μόνον ἡμῖν ἐνταῦθα δὴ ἀπολέλειπται
αὐτίκα δηλώσω. τῇδε τοῦ βασιλέως τὰ διαιτητήρια ἔχον- 24
τος, διὰ μέγεθος τῆς βασιλείας, ἐκ πάσης γῆς ὅμιλος ἀν-
θρώπων τῇ πόλει παντοδαπὸς ἐπεισέρχεται. παραγίνε- 25 P 27
ται δὲ αὐτῶν ἕκαστος ἢ πράξει τινὶ ποδηγούμενος ἢ ἐλ-
πίδι ἢ τύχῃ, πολλοὶ δέ τινες, οἷς δὴ τὰ κατὰ τὴν οἰκίαν
οὐκ ἐν καλῷ κεῖται, βασιλέως δεησόμενοι, τῇ πόλει ἔν-
δημοι γίνονται διὰ βίαν τινὰ ἢ πιέζουσαν ἢ ἐγκειμένην
ἢ μέλλουσαν. οἷσπερ συμβαίνει πρὸς τῇ ἄλλῃ ἀμηχανίᾳ 26
καὶ οἰκίας ὑποσπανίζειν, οὐχ οἵοις τε οὖσι τὴν ὑπὲρ τῆς
ἐνταῦθα διατριβῆς προίεσθαι μίσθωσιν. ταύτην δὲ αὐτοῖς 27
βασιλεύς τε Ἰουστινιανὸς καὶ ἡ βασιλὶς Θεοδώρα τὴν
ἀπορίαν διέλυσαν. τῆς γὰρ θαλάσσης ὡς ἀγχοτάτω, ἵνα
δὴ Στάδιον ὁ χῶρος καλεῖται (ἀγῶσι γάρ, οἶμαι, τὸ πα-
λαιὸν ἀνεῖτό τισι) ξενῶνας ὑπερμεγέθεις ἐδείμαντο, τοῖς
τὰ τοιαῦτα ταλαιπωρουμένοις ἐπὶ καιροῦ γενησομένους
καταλυτήρια.

ΛΟΓΟΣ Β'. B 209

Ὅσα μὲν δὴ ἐπί τε Κωνσταντινουπόλεως καὶ τῶν P 28
ἐκείνῃ προαστείων ἱερὰ τεμένη βασιλεὺς Ἰουστινιανὸς
νέα ἱδρύσατο, καὶ ὅσα καταπεπονηκότα διὰ χρόνου μῆκος

5 οὖν A] om. V. 5—6 δεδημιουργημένα V] δημιουργηθέντα A. 7 δὲ V] δὲ δὴ A. 12 οἰκίαν A] οἰκείαν V. 13 καὶ evanuit in V. 16 διέλυσαν V] ἔλυσαν A. 20 στάδιον V] om A. ὁ V] οὗ A. 21 ἀνεῖτό V] ἀνεῖται A. ξενῶνας A] καὶ ξενῶνας V.

ἀνενεώσατο, τά τε ἄλλα οἰκοδομήματα, ὅσα δὴ ἐνταῦθα
P 29 πεποίηται, ἐν τῷ ἔμπροσθεν λόγῳ δεδήλωται. τὸ δὲ
λοιπὸν ἐπὶ τὰ ἐρύματα ἡμῖν ἰτέον, [καὶ] οἷσπερ τὰς
ἐσχατιὰς περιέβαλε Ῥωμαίων τῆς γῆς. ἔνθα δὴ καὶ τα-
λαιπωρεῖσθαι τῷ λόγῳ τὰ μάλιστα ἐπάναγκες ἂν εἴη καὶ
3 τὰ ἀμήχανα διαπονεῖσθαι. οὐ γὰρ τὰς πυραμίδας ἀφη-
γησόμεθα, τοῦτο δὴ τῶν ἐν Αἰγύπτῳ βεβασιλευκότων
τὸ διαθρυλλούμενον ἐπιτήδευμα, ἐς χάριν ἀποκεκριμένον
ἀνόνητον, ἀλλὰ τὰ ὀχυρώματα σύμπαντα, οἷς ὁ βασιλεὺς
οὗτος τὴν βασιλείαν ἐσώσατο, τειχισάμενός τε αὐτὴν καὶ
ἀμήχανον τοῖς βαρβάροις καταστησάμενος τὴν ἐς Ῥω-
B 210 μαίους ἐπιβουλήν. ἐκ δὲ ὁρίων τῶν Μηδικῶν ἄρξασθαι
οὔ μοι ἀπὸ τρόπου ἔδοξεν εἶναι.
4 Ἐπειδὴ Μῆδοι ἀνεχώρησαν ἐκ Ῥωμαίων τῆς γῆς, πό-
λιν αὐτοῖς Ἄμιδαν ἀποδόμενοι, ἧπερ ἐν λόγοις τοῖς ὑπὲρ
τῶν πολέμων δεδήλωται, βασιλεὺς μὲν Ἀναστάσιος ἄγ-
χιστά πη τῶν Περσικῶν ὅρων κώμην ἄδοξόν τινα τὰ
πρότερα οὖσαν, Δάρας ὄνομα, τείχει περιβαλεῖν διὰ
σπουδῆς ἔσχε, πόλιν τε αὐτὴν ἐπιτείχισμα ἐσομένην τοῖς
5 πολεμίοις ἐργάσασθαι. ἐν δὲ ταῖς σπονδαῖς ἀπειρημένον,
ἅσπερ ποτὲ βασιλεὺς Θεοδόσιος ἔθετο πρὸς τὸ Περσῶν
γένος, μηδετέρους ἐν χωρίῳ οἰκείῳ ἐν γειτόνων που τοῖς
τῶν ἑτέρων ὁρίοις κειμένῳ ὀχύρωμα νεώτερόν τι ἐπι-
τεχνᾶσθαι, προτεινόμενοι Πέρσαι τὰς ἐπὶ τῇ εἰρήνῃ ξυν-
θήκας ἐμπόδιοι τῷ ἔργῳ σπουδῇ τῇ πάσῃ ἐγίνοντο, καί-
6 περ Οὐννικοῦ πολέμου πιεζόμενοι τῇ ἀσχολίᾳ. Ῥωμαῖοι
δὲ αὐτοὺς ἀπαρασκεύους διὰ ταῦτα ὁρῶντες ὀξύτερον
τῆς οἰκοδομίας ἀντελαμβάνοντο, προτερῆσαι διὰ σπουδῆς

15 cf. I 44, 9. 18 cf. de bellis I 47, 18. 20 ἀπειρημένον] cf. de b. I 10, 5.

3 καὶ οἵσπερ V, καὶ οἷς A, καὶ delevit Maltr. 9 ξύμπαντα A. 14 τῆς V] om. A. 19 ἐσομένην V] ἐσόμενον A.

ἔχοντες πρὶν οἱ πολέμιοι τὴν πρὸς Οὔννους ἀγώνισιν
διαλύσαντες ἐπὶ σφᾶς ἴωσιν. ὑποψίᾳ οὖν τῇ ἐκ τῶν 7
πολεμίων περίφοβοι ὄντες καὶ καραδοκοῦντες ἀεὶ τὰς
ἐφόδους, οὐκ ἐς τὸ ἀκριβὲς τὴν οἰκοδομίαν ἐξῆγον, τοῦ
τάχους αὐτοῖς τῷ ὑπερβάλλοντι τῆς σπουδῆς παραιρου-
μένου τὴν ἐς τὸ ἔργον ἀσφάλειαν. τῷ γὰρ συντόμῳ τό 8
γε ἀσφαλὲς οὐδαμῆ εἴωθε ξυνοικίζεσθαι, οὐδὲ τῷ ὀξεῖ τὸ
ἀκριβὲς φιλεῖ ἕπεσθαι. οὕτω τοίνυν ἐπισπερχῶς ἀπειρ- 9
γάσαντο τὴν τοῦ περιβόλου ἀνάστασιν οὐκ ἀνανταγώ-
νιστον τοῖς πολεμίοις πεποιημένοι, ἀλλ᾽ ὅσον αὐτῷ ἀναγ-
καῖον ὕψος ἐνθέμενοι, οὐ μὴν οὐδὲ αὐτοὺς ἐμβεβλημένοι
ἐν ἐπιτηδείῳ τοὺς λίθους, ἢ αὐτῶν ἐν δέοντι εἰργασμέ- B 211
νοι τὴν σύνθεσιν, ἢ τῷ τέλματι τῆς τιτάνου κατὰ λόγον
ἐναρμοσάμενοι. χρόνου οὖν ὀλίγου (χιόσι τε γὰρ καὶ 10
ἡλίου θέρμῃ τῷ τῆς οἰκοδομίας σφαλερῷ ἀντέχειν οἱ
πύργοι ὡς ἥκιστα εἶχον) διερρωγέναι αὐτῶν τοῖς πλεί-
στοις ξυνέβη. οὕτω μὲν τὰ πρότερα ἐν πόλει Δάρας τὰ
τείχη ἀνέστη.
Ἔννοια δὲ Ἰουστινιανῷ βασιλεῖ γέγονεν ὡς οὐ περιό- 11
ψονται Πέρσαι ὅσα γε δυνατὰ τοῦτο δὴ τὸ κατ᾽ αὐτῶν
ἐπιτείχισμα Ῥωμαίοις ἑστάναι, ἀλλὰ πανοικεσίᾳ μὲν προσ-
βαλοῦσι, τέχνας δὲ κινήσουσι πάσας ἐξ ἀντιπάλου τειχο-
μαχήσειν τῆς πόλεως, καὶ ὅμιλος μὲν αὐτοῖς ἐλεφάντων
ἕψεται, οἴσουσι δὲ ξυλίνους ἐπὶ τῶν ὤμων οἱ ἐλέφαντες P 30
πύργους, οἷς ὑποκείμενοι ἀντὶ θεμελίων ἐστήξουσι, καὶ
τὸ δὴ χαλεπώτερον ἐν ἐπιτηδείῳ τοῖς πολεμίοις περι-
αγόμενοι καὶ φέροντες τεῖχος γνώμῃ τῶν κεκτημένων
ὅπῃ παρατύχοι ἑπόμενον· ἐπεμβαίνοντες δὲ οἱ πολέμιοι 12

3 καραδοκοῦντες V] καραδοκοῦντες δὲ A. 5—6 παραιρουμένου A] παραιρομένου V. 11—12 ἐν ἐπιτηδείῳ τοὺς λ. ἐμβεβλ. A. 12—13 εἰργασμένοι A] πεποιημένοι V.

βαλοῦσι μὲν κατὰ κορυφὴν τοὺς ἔνδον Ῥωμαίους, ἐκ δὲ
ὑπερδεξίων ἐπιθήσονται, ἀλλὰ καὶ λόφους χειροποιήτους
ἐπαναστήσουσι, καὶ μηχανὰς τὰς ἑλεπόλεις ἐπάξονται
13 πάσας. ἢν δέ τι τῇ πόλει Δάρας ἀξύμφορον ἐπιγένηται,
πάσης μὲν προβεβλημένη τῆς Ῥωμαίων ἀρχῆς, ἀντι-
τεταγμένη δὲ τῇ πολεμίᾳ διαφανῶς, οὐκ ἄχρι τοῦδε ἡμῖν
κείσεται τὸ κακόν, ἀλλ' ἡ πολιτεία κατασεισθήσεται ἐκ
τοῦ ἐπὶ πλεῖστον. ἐβούλετό τε διὰ ταῦτα ὀχύρωμα τῷ
χωρίῳ περιβαλεῖν ἐπαξίως τῆς χρείας.

14 Πρῶτα μὲν οὖν τὸ τεῖχος (κολοβόν τε γὰρ ἦν κομιδῇ,
ᾗπέρ μοι εἴρηται, καὶ τοῖς ἐπιοῦσι διὰ ταῦτα ἐπιμαχώ-
τατον) ἀπρόσοδόν τε καὶ ἄμαχον ὅλως τοῖς πολεμίοις
15 B 212 ἐσκευάσατο εἶναι. τὰς μὲν γὰρ ἐπάλξεις πρότερον οὔσας
λίθων ἐνθήκῃ ξυναγαγὼν ἀπέσφιγξεν ἐν στενῷ μάλιστα,
ἴχνη αὐταῖς μόνα ἐς θυρίδων ἀπολιπὼν σχῆμα, τοσοῦτον
δὲ αὐτῶν συγκεχωρηκὼς ἀνεῳγέναι, ὅσον δὴ καὶ χεῖρα
διεῖναι, καὶ τῶν τοξευμάτων ἐξόδους ἐπὶ τοὺς ἐνοχλοῦν-
16 τας ἐνθένδε λελεῖφθαι. ὕπερθεν δὲ αὐτῶν ὕψος τῷ περι-
βόλῳ ἐπετεχνήσατο ἐς τριάκοντα μάλιστα πόδας, οὐχ
ὅλον ἐνθέμενος τὸ πάχος τῷ τείχει, ὡς μὴ τῶν θεμελίων
τῇ τῶν ἐγκειμένων περιουσίᾳ βαρυνομένων ἀνήκεστόν
τι τῷ ἔργῳ ξυμβαίη, ἀλλὰ τὸν ἐκείνῃ ἀέρα λίθων περι-
βολῇ περιελίξας, στοάν τε ἐν κύκλῳ τοῦ περιβόλου περί-
δρομον ἐργασάμενος, ὑπέρ τε τὴν στοὰν τὰς ἐπάλξεις
ἐπιβαλών, ὥστε διώροφον μὲν πανταχόσε τὸ τεῖχος εἶναι,
κατὰ δὲ τοὺς πύργους καὶ τρεῖς γεγονέναι τὰς χώρας
τῶν τε ἀμυνομένων τοῦ περιβόλου καὶ τὰς ἐπ' αὐτὸν
17 ἀποκρουομένων ἐφόδους. κατὰ μέσους γάρ πη τοὺς
πύργους σφαιρικὸν σχῆμα ἐνθέμενος αὖθις ἐνταῦθα ἐν-

10 κομιδῇ l, Hoesch.] κομηδὴ V. 14 ἀπέσφιξεν V. 22 ξυμβαίη V] ξυμβαίνοι A. 24 ἐπάλξεις Hoesch.] ἐπάλξης V.

τέθεικεν ἐπάλξεις ἑτέρας, τριώροφον ταύτῃ τὸ τεῖχος
ἀπεργασάμενος.

Ἔπειτα δὲ κατανενοηκὼς ὅτι δὴ καὶ τῶν πύργων διε- 18
φθάρθαι πολλούς, ᾗπέρ μοι εἴρηται, ξυνηνέχθη ἐν χρόνῳ
ὀλίγῳ, καθελεῖν μὲν αὐτοὺς ὡς ἥκιστα εἶχεν, ἐν γειτόνων
ἀεὶ τῶν πολεμίων ὄντων καὶ καιροφυλακούντων τε καὶ
διηνεκὲς ἰχνευόντων εἴ ποτε τοῦ περιβόλου μοίρας ἀτει-
χίστου τινὸς ἐπιτυχεῖν οἷοί τε ὦσιν· ἐπενόει δὲ τάδε.
τούτους μὲν τοὺς πύργους αὐτοῦ εἴασεν, ἔκτοσθεν δὲ 19
αὐτῶν ἑκάστου οἰκοδομίαν τινὰ ἑτέραν ἐμπείρως ἐν τε-
τραγώνῳ ἐδείματο, ἀσφαλείας τε καὶ τῆς ἄλλης ἐπιμε-
λείας εὖ ἔχουσαν, ταύτῃ τε τοὺς πεπονηκότας τῶν τοί-
χων ἐρύματι ἑτέρῳ ἐς τὸ ἀσφαλὲς ἐτειχίσατο. ἕνα δὲ 20
αὐτῶν τὸν καλούμενον τῆς Φρουρᾶς ἐπικαιριώτατα καθ- B 213
ελὼν ἀνῳκοδομήσατο ξὺν τῷ ἀσφαλεῖ καὶ πανταχόθεν τοῦ P 31
περιβόλου τὸ ἐκ τῆς ἀσθενείας ἀφείλετο δέος. καὶ τῷ 21
προτειχίσματι δὲ κατὰ λόγον διαρκὲς ὕψος ἐπισταμένως
ἐντέθεικεν. ἔκτοσθεν δὲ αὐτοῦ τάφρον ὤρυξεν, οὐχ 22
ᾗπερ εἰώθασιν ἄνθρωποι τὰ τοιαῦτα ποιεῖν, ἀλλ' ἐν
χώρῳ τε ὀλίγῳ καὶ τρόπῳ ἑτέρῳ· ὅτου δὲ δὴ ἕνεκα, ἐγὼ
δηλώσω.

Τὰ μὲν ἄλλα τοῦ περιβόλου ἀπρόσβατα τοῖς τειχομα- 23
χοῦσιν ἐκ τοῦ ἐπὶ πλεῖστον ξυμβαίνει εἶναι ἅτε οὐκ ἐφ'
ὁμαλοῦ χωρίου ἑστῶτα, οὐδὲ τοῖς ἐπιοῦσιν ἔχοντος πρὸς
ἐπιβουλὴν ἐπιτηδείως, ἀλλὰ κατὰ τὸ ἄναντες ἔν τε σκληρῷ
καὶ ὀρθίῳ κειμένου, ἔνθα οὔτε διώρυχα οἷόν τέ ἐστιν
οὔτε προσβολὴν γενέσθαι τινά. ἣ δὲ αὐτοῦ πρὸς ἄνε- 24
μον νότον ἡ πλευρὰ τέτραπται, μαλθακή τε οὖσα καὶ

3 ὅτι l] evanuit in V. 5 ἐν γειτόνων A] ἐγγειτόνων V. 6 τῶν — καὶ 1 omissa erant in V, sed suppleta sunt. 9 ἔκτο-σθε V.

γεώδης ἡ χώρα καὶ πρὸς διώρυχας εὔκολος ἄγαν, εὐέφ-
25 οδον ταύτῃ ποιεῖ τὴν πόλιν. τάφρον οὖν ἐνταῦθα
μηνοειδῆ, εὔρους τε καὶ βάθους ἱκανῶς ἔχουσαν ἐπὶ
μακρῷ κατορύξας, ἑκάτερον αὐτῆς τῷ προτειχίσματι τὸ
πέρας ἐνῆψεν, ὕδατος μὲν αὐτὴν διαρκῶς ἐμπλησάμενος,
ἄβατόν τε παντάπασι τοῖς πολεμίοις καταστησάμενος, ἐν
μοίρᾳ δὲ αὐτῆς τῇ ἐντὸς προτείχισμα θέμενος ἕτερον·
ᾧ δὴ ἐφεστῶτες ἐν πολιορκίᾳ φρουροῦσι Ῥωμαῖοι, τοῦ
τε περιβόλου καὶ προτειχίσματος τοῦ ἑτέρου ἀφροντι-
26 στήσαντες, ὅπερ τοῦ τείχους προβέβληται. ἐτύγχανε δὲ
τοῦ τε τείχους καὶ τοῦ προτειχίσματος μεταξὺ κατὰ τὰς
πύλας, αἳ καταντικρὺ τοῦ Ἀμμώδιος χωρίου εἰσί, μέγα
τι χρῆμα χώματος κείμενον, καὶ ἀπ᾿ αὐτοῦ οἱ πολέμιοι
λανθάνειν ἐκ τοῦ ἐπὶ πλεῖστον οἷοί τε ἦσαν, ἐπὶ τῇ πό-
27 λει διώρυχας ἔνερθεν τοῦ περιβόλου ποιούμενοι. ὅπερ
B 214 ἐνθένδε περιελὼν καὶ περικαθήρας εὖ μάλα τὸν χῶρον,
ταύτῃ τοῖς πολεμίοις τὴν ἐς τὸ τεῖχος ἐπιβουλὴν ἀνε-
χαίτισε.

β΄. Τὰ μὲν οὖν τοῦ ὀχυρώματος αὐτῷ τῇδέ πη πεποίη-
ται. καὶ ὕδατος δὲ εἰργάσατο ἔλυτρα πῇ μὲν τοῦ περι-
βόλου καὶ τοῦ προτειχίσματος μεταξύ, πῇ δὲ ἄγχιστα
τοῦ νεώ, ὃς Βαρθολομαίῳ ἀποστόλῳ ἀνεῖται πρὸς δύοντά
2 που τὸν ἥλιον. ῥεῖ δὲ καὶ ποταμὸς ἐκ προαστείου τῆς
πόλεως διέχοντος αὐτῆς σημείων δυοῖν, ὃ δὴ Κόρδης
3 ἐπικαλεῖται. ἐφ᾿ ἑκάτερα δὲ αὐτοῦ σκοπέλω δύο ἀνέχε-
τον ὑπεράγαν σκληρώ. πρόεισί τε μεταξὺ τῆς ἑκατέρου
ὑπωρείας ἄχρι ἐς τὴν πόλιν ὁ ποταμὸς οὗτος, παρὰ τοὺς
πρόποδας φερόμενος τῶν ὀρῶν, μάλιστά τε καὶ δι᾿ αὐτὸ
4 τοῖς πολεμίοις ἄτρεπτός τε καὶ ἀνέπαφος ὤν. οὐ γὰρ

20—21 πῇ — πῇ Dind] πη — πη codd. 24 αὐτῆς Maltr.] αὐτὴν codd. δυεῖν A. 25 δύω A. 26 τε V] δὲ Maltr.

ἔχουσι βιάζεσθαί πη αὐτὸν ἐν ὑπτίῳ τῆς γῆς. ἐπι-
σπῶνται δὲ αὐτὸν ἐς τὴν πόλιν τρόπῳ τοιῷδε. ὀχετὸν 5
μὲν ἐκ τοῦ περιβόλου πεποίηνται μέγαν, ὀβελοῖς δὲ σι- P 32
δηροῖς τὸ τοῦ ὀχετοῦ στόμα συχνοῖς τε καὶ ὡς παχυτά-
τοις καταλαβόντες, τοῖς μὲν ὀρθοῖς, τοῖς δὲ ἐγκαρσίοις,
διεπράξαντο τῷ ὕδατι ἐς τὴν πόλιν εἰσιτητὰ εἶναι, οὐκ
ἐπὶ πονηρῷ τοῦ ὀχυρώματος. οὕτω τοίνυν ἐς τὴν πόλιν 6
ἐσιὼν καὶ τὰ ἐκείνῃ ἔλυτρα ἐμπλησάμενος, περιαγόμενός
τε ὅποι ποτὲ δοκοίη τοῖς τῇδε ἀνθρώποις, εἶτα ἐκβάλλει
ἐς ἑτέραν τινὰ τῆς πόλεως χώραν, ἐμφεροῦς αὐτῷ τῇ ἐς
τὴν πόλιν εἰσαγωγῇ πεποιημένης τῆς ἐκβολῆς. περιιὼν 7
τε τὰ ταύτῃ πεδία ἐς πολιορκίαν εὐπετῆ ἐποιεῖτο τὴν
πόλιν. ἐνταῦθα γὰρ ἐνστρατοπεδεύεσθαι τοῖς πολεμίοις
τῇ τοῦ ὕδατος περιουσίᾳ οὐ χαλεπὸν ἦν. ὅπερ ἵνα μὴ 8
γένηται λογισάμενος Ἰουστινιανὸς βασιλεὺς τὰ παρόντα B 215
ἐν βουλῇ ἐποιεῖτο, διασκοπούμενος εἴ τινα τῷ πράγματι
ἄκεσιν εὕροι. ὁ δὲ θεὸς αὐτῷ τὴν ἀμηχανίαν ἰώμενος, 9
ἀπαυτοματίσας τὴν πρᾶξιν μελλήσει τὴν πόλιν οὐδεμιᾷ
διεσώσατο. ἐγίνετο δὲ δὴ ὧδε.

Τῶν τις ἐκείνῃ στρατευσαμένων, εἴτε τινὰ ὄψιν ὀνεί- 10
ρου ἰδὼν εἴτε αὐτόματος εἰς τοῦτο ἠγμένος, τῶν περὶ
τὰς οἰκοδομίας τεχνιτῶν ἑταιρισάμενος πολὺν ὅμιλον,
διώρυχα ἐκέλευε μακρὰν ἐντὸς τοῦ περιβόλου γεγενῆ-
σθαι, δείξας τι χωρίον αὐτοῖς· ὕδωρ γὰρ πότιμον ἐν-
ταῦθα εὑρήσειν ἐκ μυχῶν ἀποβλύζον τῆς γῆς. κυκλο- 11
τερῆ τε τὴν διώρυχα ἐς ποδῶν μῆκος πεντεκαίδεκα ποι-
ησάμενος ἐπὶ πλεῖστον τὸ βάθος κατῆγε. τοῦτο τῇ πόλει 12
σωτήριον οὐκ ἐκ προνοίας τῶν τεχνιτῶν τούτων πεποί-

6 ἐσιτητὰ A. 8 εἰσιὼν A. 12 τε V] δὲ A. ταύτῃ V] ταύτης A. 17 ἄκεσιν V] ἄνεσιν A. 18 ἀπαυτοματίσας l A] ἀπαυ evanuit in V. μελήσει A. 19 ἐγένετο A. 21 ἰδὼν V] εἰδὼς A. 22 τὰς V] τῆς A. 26 τε V] δὲ A.

ηται, ἀλλ' ὅπερ ἐνταῦθα ξυμβήσεσθαι κακὸν ἔμελλεν, ἐς
πᾶν ξυμφέρον διὰ τῆς κατώρυχος ἀπεκρίθη Ῥωμαίοις.
13 ὄμβρων γὰρ μεταξὺ ἐξαισίων καταρραγέντων, ὁ ποταμός,
οὗπερ ἐπεμνήσθην ἀρτίως, πρὸ τοῦ περιβόλου μορμύρων
ἀρθείς τε ἐπὶ μέγα κατὰ τὰ ξυνειθισμένα οὐκέτι ἐχώρει,
οὐ δεχομένων αὐτὸν τηλικόνδε γεγενημένον οὔτε τῶν
14 εἰσόδων οὔτε τοῦ ὀχετοῦ, ᾗπερ τὰ πρότερα. ξυνίστατο
οὖν ἐπὶ τὸ τεῖχος ξυνάγων τὸν ῥοῦν, ἐς ὕψος τε καὶ
βάθος κατατείνων πολύ, καὶ πῆ μὲν λιμνάζων, πῆ δὲ
15 κυρτούμενός τε καὶ κυματίας γεγενημένος. τὸ μὲν οὖν
προτείχισμα βιασάμενος καθεῖλεν εὐθύς, κατασείσας δὲ
καὶ πολλήν τινα τοῦ τείχους μοῖραν καὶ τὰς πύλας ἀνα-
πετάσας πολύς τε ῥεύσας τὴν πόλιν καταλαμβάνει σχεδόν
τι ὅλην, καὶ αὐτῆς τήν τε ἀγορὰν καὶ τοὺς στενωποὺς
καὶ οὐδέν τι ἧσσον τὰς οἰκίας περιπολήσας, ἐπίπλων τε
B 216 ἐνθένδε καὶ ξυλίνων τευχῶν καὶ ἄλλων τοιούτων φο-
ρυτὸν μέγαν ἐπαγόμενος, ἐς ταύτην τε τὴν διώρυχα ἐμ-
16 πεσὼν ἀφανίζεται ὑπόγειος γεγενημένος. ἡμέραις δὲ οὐ
πολλαῖς ὕστερον ἄγχιστά πη τῶν Θεοδοσιουπόλεως ὁρίων
ἐκδούς, ἐν χώρῳ ἐφάνη σημείοις τεσσαράκοντα διέχοντι
μάλιστα Δάρας πόλεως, οἷσπερ ἐπηγάγετο ἐκ τῶν τῇδε
οἰκιῶν γνωσθείς. διεφάνη γὰρ ἐνταῦθα ὁ συρφετὸς ὅλος.
17 καὶ τὸ λοιπὸν ἐν μὲν εἰρήνῃ καὶ ἀγαθοῖς πράγμασιν ἐν
μέσῃ πόλει γινόμενος ὁ ποταμὸς οὗτος, περιπλέους τε
τοῦ ὕδατος τοὺς θησαυροὺς ἐργασάμενος, φέρεται μὲν
τῆς πόλεως ἔξω διὰ τῶν ἐξόδων αἵπερ αὐτῷ πεποίηνται
ἐξεπίτηδες πρὸς τῶν δειμαμένων τὴν πόλιν, ὥσπερ μοι
18 P 33 ἔναγχος δεδιήγηται. ἀρδεύων δὲ τὰ ἐκείνῃ χωρία πο-

6—7 οὔτε — οὔτε Dind.] οὐδὲ — οὐδὲ V. 7 συνίστατο A. 9 πῇ — πῇ Dind.] πῆ — πῆ codd. 17 ἐπαγόμενος V] ἐπαγαγόμενος A. 26 αἵπερ A] ι evanuit in V.

θεινὸς ἅπασι τοῖς περιοικοῦσιν ἐς ἀεὶ γίνεται. ἐπειδὰν
δὲ πολεμίων στρατὸς ὡς πολιορκήσων τὴν πόλιν ἐν-
ταῦθα ἴοι, τὰς μὲν διὰ τῶν σιδηρῶν ὀβελῶν ἐξόδους
ἐπιβύσαντες τοῖς καταράκταις καλουμένοις, αὐτίκα τε
τὸν ποταμὸν μεταπεφυκέναι καὶ τὴν ἐκβολὴν μεταπο-
ρεύεσθαι βιασάμενοι ἀνάγκῃ χειροποιήτῳ, ἐπί τε τὴν
διώρυχα καὶ τὸ ἐνθένδε περιάγουσι χάος. καὶ ἀπ' αὐτοῦ 19
οἱ πολέμιοι πιεζόμενοι τοῦ ὕδατος τῇ ἀπορίᾳ διαλύειν
ἀναγκάζονται τὴν πολιορκίαν εὐθύς. Μιρράνης ἀμέλει
ὁ Περσῶν στρατηγὸς ἐπὶ Καβάδου βασιλεύοντος ἐπὶ
πολιορκίᾳ ἐνταῦθα ἥκων, τούτοις τε πᾶσιν ἀναγκασθείς,
ἄπρακτος οὐκ εἰς μακρὰν ἀνεχώρησε. καὶ Χοσρόης αὐτὸς 20
πολλῷ ὕστερον ἐπ' αὐτῷ τούτῳ ἀφικόμενος στρατῷ με-
γάλῳ ἐγκεχείρηκε τῇ ἐς τὴν πόλιν ἐπιβουλῇ. ὕδατός τε 21
ἀπορίας πέρι ἀμηχανῶν, καὶ ἀποσκοπούμενος τὴν τοῦ
περιβόλου ὑπερβολήν, ἄμαχόν τε αὐτὴν διαρκῶς ὑπώ-
πτευεν εἶναι, καὶ τὰ βεβουλευμένα μεταγνούς, εὐθυωρὸν B 217
ἐς τὰ Περσῶν ἤδη ἀπιὼν ᾤχετο, τῇ τοῦ Ῥωμαίων αὐτο-
κράτορος καταστρατηγηθεὶς προμηθείᾳ.

γ'. Ταῦτα μὲν οὖν ἐν πόλει Δάρας οὕτω δὴ βασιλεὺς
Ἰουστινιανὸς κατεστήσατο· ὅντινα δὲ προσεποίησε τρόπον
τῇ πόλει μηκέτι αὐτῇ πάθος πρὸς τοῦ ποταμοῦ ξυμβῆναι
τοιοῦτον, τοῦ θεοῦ διαρρήδην αὐτῷ ξυνεπιλαμβανομένου
τὸ σπούδασμα τοῦτο, ἐγὼ δηλώσω. Χρύσης ἦν τις Ἀλε- 2
ξανδρεύς, μηχανοποιὸς δεξιός, ὅσπερ βασιλεῖ τὰ ἐς τὰς
οἰκοδομίας ὑπηρετῶν, τὰ πλεῖστα τῶν τε ἐν πόλει Δάρας
καὶ τῇ ἄλλῃ χώρᾳ γεγονότα ἐξείργασται. οὗτος ὁ Χρύσης 3
ἀπεδήμει μὲν ἡνίκα δὴ ἐν πόλει Δάρας τὸ ἐκ τοῦ ποτα-

8—9 τοῦ ὕδατος — ἀναγκάζονται V] τῇ σπάνει τοῦ ὕδατος διαλύουσι A. 17 μεταγνοὺς l] μετα^{να}γνοὺς V. εὐθυωρὸν scripsi] εὐθύωρος V. 21 δὲ A] om. V. 26 ὑπηρετῶν, τὰ V] ὑπηρέτει τὰ A. ἐν V] ἐν τῇ A.

μοῦ πάθος ξυνέπεσεν· ἀκηκοὼς δὲ καὶ περιαλγήσας τῇ
συμφορᾷ ἐς κοίτην τὴν αὑτοῦ ἀπεχώρησεν. ὄψιν δὲ
4 ὀνείρου τοιάνδε εἶδεν. ἐδόκει οἱ ἐν τῷ ὀνείρῳ τις ὑπερ-
φυής τε καὶ τὰ ἄλλα κρείσσων ἢ ἀνθρώπῳ εἰκάζεσθαι
μηχανήν τινα ἐπαγγέλλειν τε καὶ ἐνδείκνυσθαι, ἣ ἂν
διακωλύειν τὸν ποταμὸν ἱκανὴ εἴη ἐπὶ πονηρῷ τῆς πό-
5 λεως μηκέτι μορμύρειν. καὶ ὁ μὲν αὐτίκα θεῖον ὑπο-
τοπήσας τὸ πρᾶγμα εἶναι, τήν τε μηχανὴν καὶ τὴν τοῦ
ὀνείρου ὄψιν ἐς βασιλέα γράψας ἀνήνεγκε, σκιαγραφήσας
6 τὴν ἐκ τοῦ ὀνείρου διδασκαλίαν. ἐτύγχανε δὲ οὐ πολλῷ
πρότερον ἄγγελος ἥκων ἐς βασιλέα ἐκ Δάρας πόλεως,
ὅσπερ αὐτῷ τὰ ἐκ τοῦ ποταμοῦ ξυνενεχθέντα πάντα
7 ἐσήγγειλε. βασιλεὺς δὲ τότε τοῖς ξυμπεπτωκόσι ξυντα-
P 34 ραχθεὶς καὶ περιώδυνος γεγονώς, τοὺς τὰ μηχανικὰ
εὐδοκιμοῦντας εὐθὺς μετεκάλει, Ἀνθέμιόν τε καὶ Ἰσί-
8 δωρον, ὧνπερ ἔμπροσθεν ἐπεμνήσθην. καὶ τὰ ξυμβεβη-
B 218 κότα ἐπικοινούμενος ἀνεπυνθάνετο τῶν ἀνδρῶν ὁποία
ποτὲ μηχανὴ γένοιτο, ὡς μή τι περαιτέρω τῇ πόλει ξυμ-
βαίη· καὶ αὐτῶν μὲν ἑκάτερος ὑποθήκην τινὰ ἔφραζε
τήν οἱ δοκοῦσαν ἐπιτηδείως ἐς τοῦτο ἔχειν· βασιλεὺς δέ,
θείας δηλονότι ἐπινοίας αὐτῷ γενομένης τινός, οὔπω τὰ
Χρύσου ἰδὼν γράμματα, ἐπενόει τε καὶ ἐσκιαγράφει αὐτο-
γνωμονήσας ἐκ τοῦ παραδόξου ὃ δὴ τοῦ ὀνείρου ἐκτύ-
9 πωμα ἦν. ἔτι δὲ τῆς βουλῆς ᾐωρημένης καὶ τοῦ πρα-
κτέου σφίσιν ἐν ἀδήλῳ ὄντος, διέλυσαν τὸν διάλογον.
10 ἡμέραις τε τρισὶν ὕστερον ἧκέ τις βασιλεῖ τήν τε τοῦ
Χρύσου ἐπιστολὴν καὶ τῆς τοῦ ὀνείρου μηχανῆς τὸ ἐκ-

15 cf. ae. I 1, 24; 70.

2 αὑτοῦ Dind.] αὐτοῦ V. 4 ἄλλα Braun] ἄκρα codd. 12 ξυνενεχθέντα l] ξυνεχθέντα V. 16—17 ξυμβηκότα A. 22—23 αὐτογνωμήσας V. 26 τε 1 V] δὲ Hoesch.

μαγεῖον ἐνδεικνύμενος. καὶ ὃς μεταπεμψάμενος τοὺς 11
μηχανικοὺς αὖθις ἀνανεοῦσθαι τῇ μνήμῃ ἐκέλευεν ὅσα
δὴ σφίσιν ἀμφὶ τῷ ἔργῳ τὸ πρότερον δοκοῦντα εἴη. οἱ 12
δὲ ἀπεστομάτιζον ἐφεξῆς ἅπαντα, ὅσα τε αὐτοὶ τεχνά-
ζοντες εἶπον καὶ ὅσα βασιλεὺς ἀπαυθαδιασάμενος ἐπήγ-
γειλε γενέσθαι. καὶ τότε δὴ βασιλεὺς τόν τε πρὸς τοῦ 13
Χρύσου σταλέντα καὶ τὰ γράμματα ἐπιδείξας, ἔτι δὲ καὶ
τὴν ἐκ τοῦ ὀνείρου γεγονυῖαν ἐπὶ τῷ ἐσομένῳ ὄψιν τε
καὶ σκιαγραφίαν, κατεστήσατο αὐτοὺς ἐν θαύματι με-
γάλῳ, ἐν νῷ ποιουμένους ὡς ἅπαντα ὁ θεὸς συνδια-
πράσσεται τῷ βασιλεῖ τούτῳ τὰ τῇ πολιτείᾳ ξυνοίσοντα.
ἐκράτει τοίνυν ἡ τοῦ βασιλέως ἐπίταξις, ὑποχωρούσης 14
μηχανοποιῶν σοφίας καὶ τέχνης. καὶ γίνεται ὁ Χρύσης 15
αὖθις ἐν πόλει Δάρας, ἐπιτεταγμένον οἱ πρὸς τοῦ βασι-
λέως ὑποτελέσαι τὰ γεγραμμένα σπουδῇ τῇ πάσῃ, καθά-
περ ἡ τοῦ ὀνείρου ὑποθήκη ἐπήγγελλεν. ἐποίει τε τὰ
ἐπιτεταγμένα τρόπῳ τοιῷδε.

Ἐν χώρῳ διέχοντι τοῦ τῆς πόλεως προτειχίσματος ἐς 16
τεσσαράκοντα μάλιστα πόδας, μεταξὺ σκοπέλου ἑκατέρου,
ὧν δὴ κατὰ μέσον ὁ ποταμὸς προϊὼν φέρεται, ἀντι- B 219
τείχισμα ἐτεκτήνατο ὕψους τε καὶ εὔρους ἱκανῶς ἔχον.
οὗπερ τὰ πέρατα οὕτω δὴ ὄρει ἑκατέρῳ πανταχόθι ἐνῆ- 17
ψεν, ὡς τῷ ὕδατι τοῦ ποταμοῦ, ἢν καὶ σφοδρότατα ἐπιρ-
ρεύσειεν, ἐνταῦθα ἐσιτητὰ μηδαμῆ ἔσεσθαι. τοῦτο δὲ 18
τὸ ἔργον οἱ περὶ ταῦτα σοφοὶ φράκτην ἢ ἀρίδα καλοῦ-
σιν, ἢ ὅ τί ποτε ἄλλο ἐθέλουσιν. οὐκ ἐπ' εὐθείας δὲ [illegible]
τὸ ἀντιτείχισμα πεποίηται τοῦτο, ἀλλ' ἐπὶ τὸ μηνοειδὲς
τετραμμένον, ὅπως ἂν τὸ κύρτωμα πρὸς τῇ τοῦ ποτα-
μοῦ ἐπιρροῇ κείμενον ἔτι μᾶλλον ἀντέχειν τῷ ῥείθρῳ

5—6 ἐπήγγελλε A. 17 ἐπιτεταγμένα V] ὑποτεταγμένα A. 24 μηδαμῆ V] μὴ A.

20 βιαζομένῳ δυνατὸν εἴη. θυρίδας δὲ ἐς τὸ ἀντιτείχισμα
ἔς τε τὰ κάτω καὶ τὰ ἄνω πεποίηται. ὥστε τῷ ποταμῷ
πλημμυροῦντι ἐξαπιναίως, ἂν οὕτω τύχοι, ξυνίστασθαι
μὲν ἐνταῦθα ἐπάναγκες εἴη καὶ μὴ παντὶ τῷ ῥοθίῳ πε-
ραιτέρω χωρεῖν, ἐκροὴν δὲ κατὰ τὰς ὀπὰς ἀφιέντι βρα-
χεῖάν τινα τοῦ μὲν ὑπερβάλλοντος ὄγκου κατὰ μικρὸν
ἀπολήγειν ἀεί, τῷ δὲ τείχει λελυμασμένῳ μηδέποτε
21 εἶναι. ἡ γὰρ ἐκροὴ ἐν τῷ χώρῳ ξυνισταμένη, ὅσπερ ἐς
τεσσαράκοντα διήκων πόδας, ᾗπέρ μοι εἴρηται, τῆς τε
ἀρίδος καὶ τοῦ προτειχίσματος μεταξύ ἐστιν, οὐδαμῇ τὸ
P 35 παράπαν βιαζομένη, ἀλλ᾽ ἐς τὰς ξυνειθισμένας εἰσόδους
κατὰ λόγον χωροῦσα ἐς τὴν ὀχεταγωγίαν ἐνθένδε εἰσ-
22 βάλλει. καὶ τὰς πύλας, ἅσπερ τὸ πρότερον βιασάμενος
ἐξαπιναίως ὁ ποταμὸς ἀνεπέτασε, περιελὼν ἐντεῦθεν,
λίθοις μὲν παμμεγέθεσι τὴν προτέραν αὐτῶν ἐφράξατο
χώραν, ἐπεὶ ἐφ᾽ ὁμαλοῦ κείμεναι τῷ ποταμῷ ὑπερβλύ-
23 ζοντι εὐέφοδοι ἦσαν. ἄγχιστα δέ πη ἐν χώρῳ ἀνάντει
κατὰ τὸ κρημνῶδες τοῦ περιβόλου αὐτὰς ἔθετο, οὗ δὴ
τῷ ποταμῷ βάσιμα ὡς ἥκιστα ἦν. ταῦτα μὲν οὖν οὕτω
διαπεπόνηται τῷ βασιλεῖ τούτῳ.

24 B 220 Ἦν δέ τις ἐν πόλει πολλὴ ὕδατος πέρι ἀμηχανία τοῖς
τῇδε ἀνθρώποις. οὔτε γὰρ ἀναβλυστάνουσαν εἶχον ἐν-
ταῦθά πη κρήνην, οὔτε ὀχετῷ περιαγομένην ἐς τὰς
ἀγυιάς, αἳ τῇδέ εἰσιν, οὔτε τισὶ θησαυριζομένην ἐκείνῃ
ἐλύτροις, ἀλλ᾽ οἷς μὲν ἀγχοτάτω ὁ ποταμὸς κατὰ τὰς
ἀμφόδους ἐφέρετο, οἵδε ἀταλαιπώρως ἀρυόμενοι τῷ γειτο-

1 ἐς τὸ ἀντιτείχισμα V] ἐν τῷ ἀντιτειχίσματι A. 5 χωρεῖν εἴη
A. 7 τείχει l. Hoesch.] τείχη V. 8 ἐκροὴ] ἐκρροὴ V corr.
ὅσπερ Maltr.] ὥσπερ V 15 ἐφράξατο A] ἐφράξαντο V. 16 κεί-
μεναι Maltr.] κείμενα V. 21 πολλὴ V] τῇ πολλῇ A. 22—23
οὔτε — οὔτε scripsi] οὐδὲ — οὐδὲ codd. 22 εἶχεν A. 24 ἀγυιὰς
l. Maltr.] ἀγυὰς V. 26 ἀμφόδους] μ erasum est in V. ταλαι-
πώρως A. ἀρρυόμενοι codd. 26—57, 1 τῷ γειτονήματι om. A.

νήματι ῥᾷστα ἔπινον, οἷς δὲ ὡς ἀπωτάτω τῆς τοῦ ποταμοῦ
ἐκροῆς τὰ οἶκοι ἐτύγχανεν ὄντα, τούτοις δυοῖν τὸ ἕτερον
ἐπάναγκες ἦν, ἢ τὰ ἔσχατα πονουμένοις πιεῖν, ἢ δίψει
ἐχομένοις ἀπολωλέναι. ἀλλ᾽ ὀχετὸν βασιλεὺς Ἰουστινια- 25
νὸς ἐτεκτήνατο μέγαν, ᾧ δὴ τὸ ὕδωρ περιαγαγὼν παν-
ταχόσε τῆς πόλεως τὴν ἀπορίαν τοῖς τῇδε ᾠκημένοις
διέλυσεν. ἀλλὰ καὶ ἱερὰ πεποίηται δύο, τήν τε μεγάλην 26
ἐκκλησίαν καλουμένην καὶ τὸν τοῦ ἀποστόλου Βαρθολο-
μαίου νεών. ἔτι μέντοι καὶ τοῖς στρατιώταις καταλυτή-
ρια ἐδείματο παμπληθῆ, ὅπως δὴ τοὺς τῇδε ᾠκημένους
μηδαμῶς ἐνοχλοῖεν.

Καὶ Ἀμίδης δὲ πόλεως τό τε τεῖχος καὶ τὸ προτεί- 27
χισμα ἐν τοῖς ἄνω γενόμενα χρόνοις καὶ ἀπ᾽ αὐτοῦ
ὕποπτα ὄντα ἐξίτηλα γενήσεσθαι, οὐ πολλῷ ὕστερον νέᾳ
τινὶ καταλαβὼν οἰκοδομίᾳ τῇ πόλει τὴν ἀσφάλειαν ἀνε-
σώσατο. ὅσα δὲ κἀν τοῖς φρουρίοις αὐτῷ εἴργασται, 28
ἅπερ ἐν τοῖς ὁρίοις τούτων δὴ τυγχάνει τῶν πόλεων
ὄντα, ἐρῶν ἔρχομαι.

δ΄. Ἐκ Δάρας πόλεως ἰόντι ἐς τὰ Περσῶν ἤθη χώρα
τις ἐν ἀριστερᾷ ἐστιν ἀναμάξευτός τε καὶ ἄφιππος ὅλως.
κατατείνουσα μὲν ἐς ἡμέραιν ὁδὸν δυοῖν εὐζώνῳ ἀνδρὶ
μάλιστα, τελευτῶσα δὲ ἐς χῶρον σιμὸν καὶ απόκρημνον,
Ῥάβδιος ὄνομα. ταύτης δὲ τῆς ἐπὶ τὸ Ῥάβδιος φερού- 2 B 221
σης ὁδοῦ ἐφ᾽ ἑκάτερα τὰ Περσῶν ὅρια ἐπὶ μακρότατον
ξυμβαίνει εἶναι. ὅπερ μοι κατ᾽ ἀρχὰς ἀγαμένῳ καὶ τῶν 3
ἐπιχωρίων ἀναπυνθανομένῳ ὄντινα τρόπον Ῥωμαίοις

20 ἀναμάξευτός τε καὶ ἄφιππος] cf. Herod. II 108 ἄνιππος
καὶ ἀναμάξευτος.

1 δὲ A] μέντοι V. 2 οἶκοι V] οἰκία A. ὄντα V] om A.
δυεῖν codd. 16 κἀν V] καὶ A. 21 δυεῖν V εὐζώνῳ
ἀνδρὶ δυοῖν A. 22 σιμὸν V pr. m., A] σημὸν V pr. m. corr.
23 Ῥάβδιος scripsi] ῥάβδιον V.

P 36 προσήκουσα ὁδός τε καὶ χώρα γῆν ἑκατέρωθι τὴν πολε-
μίαν διακεκλήρωται, ἀπήγγελλόν τινες ὡς εἴη μὲν Περ-
σῶν τὸ χωρίον ποτέ, δεομένῳ δὲ τῷ Περσῶν βασιλεῖ
τῶν τις Ῥωμαίων αὐτοκρατόρων ἀμπέλοις τινὰ κατα-
κορῆ κώμην ἐπὶ Μαρτυροπόλεως οὖσαν δώσειε, τοῦτο
4 δὴ αὐτῆς τὸ χωρίον ἀνταλλαξάμενος. τὸ μὲν οὖν Ῥάβ-
διος ἐπὶ πετρῶν οἰκεῖται ἀποτόμων τε καὶ ὅλως ἀγρίων,
5 αἵπερ ἐνταῦθα ἐπανεστήκασι θαυμάσιον ὅσον. ἔνερθεν
δὲ αὐτοῦ χωρίον ἐστίν, ὅπερ καλοῦσι Ῥωμαίων ἀγρόν,
ἀγασθέντες, οἶμαι, τὸ ἐξ ἀρχῆς, ὅτι δὴ ἐν μέσῳ χωρίων
6 Περσικῶν κείμενον Ῥωμαίοις προσήκει. οὗτος δὲ ὁ
Ῥωμαίων ἀγρὸς κεῖται μὲν τῆς γῆς ἐν ὑπτίῳ, ἀγαθῶν
7 δέ ἐστι τῶν ἐν τοῖς ληίοις κομιδῇ εὔπορος. τεκμηριώσειε
δ' ἄν τις καὶ τοῖσδε, ὅτι δὴ πανταχόθεν τὸν χῶρον περι-
βάλλουσι τὰ Περσῶν ὅρια.

8 Πόλισμά ἐστιν ἐν Πέρσαις ἐπιφανὲς ἄγαν, ὄνομα Σι-
σαυράνων, ὅπερ ποτὲ Ἰουστινιανὸς βασιλεὺς ἐξελὼν ἐς
ἔδαφος καθεῖλεν, ὅμιλον πολὺν τῶν ἐν Πέρσαις ἱππέων
ξὺν Βλησχάμῃ τῷ σφῶν ἡγεμόνι δορυαλώτους πεποιη-
9 μένος. τοῦτο πόλεως μὲν Δάρας ὁδῷ ἡμέραιν διέχει
δυοῖν εὐζώνῳ ἀνδρί· τούτου δὲ τοῦ Ῥάβδιος σημείοις
10 διέστηκε τρισὶ μάλιστα. πρότερον μὲν οὖν ἀφύλακτός
τε ἦν ὁ χῶρος ὅδε καὶ Ῥωμαίοις παντελῶς ἄσημος. οὐκοῦν

17 cf. I 235, 4.

3 τῷ scripsi] τῶν V. 6 ἀνταλλαξάμενος l, Hoesch.] ἀνταλλαξάμενος V. 6—7 τὸ μὲν οὖν ῥάβδιος V] τοῦτο οὖν δὴ τὸ ῥάβδιος A. 8 ἔνερθε V. 10—12 ἀγασθέντες — ἀγρὸς] in marg adscripta sunt in V. 10 μέσῳ A] μέσων V. 14—15 περιβάλλουσι V] περιβάλλει A. 18 τεκμηριώσῃ V. 19 Βλησχάμῃ scripsi] βλησχάνῃ V, cf. I 232, 2. 235, 5 et 7. δορυάλωτον A. 20 δάρας V] δώρας A. διέχειν A. 21 δυεῖν V. δὲ V] δὲ δὴ A.

οὔτε φρουρᾶς οὔτε ὀχυρώματος οὔτε ἄλλου ὁτουοῦν ἀγα-
θοῦ πρὸς αὐτῶν ἔλαχε πώποτε. Πέρσαις ἀμέλει οἱ τὸν 11
ἀγρὸν γεωργοῦντες, οὗπερ ἐπεμνήσθην ἀρτίως, ὥσπερ B 222
ἄλλο τι ἀγγαροφοροῦντες, πεντήκοντα ἐπετείους χρυσοῦς
ἔφερον [Πέρσαις], ἐφ' ᾧ ἀδεέστερον κεκτήσονται τὰ
αὑτῶν ἴδια καὶ καρπῶν δύνωνται τῶν τῆδε φυομένων
ὀνίνασθαι. βασιλεὺς δὲ Ἰουστινιανὸς ἅπαντα αὐτοῖς 12
μεταπεφυκέναι διεσκευάσατο. τειχίσματι γὰρ τὸ Ῥάβδιος
περιβαλὼν κατὰ τῶν πετρῶν τὴν ὑπερβολήν, αἵπερ ἐκείνῃ
ἀνέχουσιν, ἀπρόσοδον αὐτὸ τοῖς πολεμίοις πεποίηται τὸ
χωρίον, δηλονότι ξυλλαμβανούσης τῆς φύσεως. ἐπεὶ δὲ 13
ὕδατος οἱ τῇδε ᾠκημένοι ἐσπάνιζον, ἐν τῇ τῶν σκοπέ-
λων ἀκρωρείᾳ πηγῆς ὡς ἥκιστα οὔσης, ταμιεῖά τε ὑδά-
των εἰργάσατο δύο καὶ τὰς ἐκείνῃ πέτρας πολλαχῇ διο-
ρύξας παμπληθεῖς ὑδάτων θησαυροὺς διεπράξατο εἶναι,
ὅπως δὴ ξυρρεόντων ὑετίων ἐνταῦθα ὑδάτων ἀδεέστερον
αὐτοῖς οἱ τῇδε ἄνθρωποι δύνωνται χρῆσθαι, ὡς μὴ τοῦ
ὕδατος πιεζόμενοι τῇ ἀπορίᾳ εὐάλωτοι εἶεν.

Καὶ τὰ ἄλλα δὲ φρούρια πάντα ἐν ὄρει κείμενα, ἅπερ 14
ἐνθένδε τε καὶ ἐκ Δάρας πόλεως ἄχρι ἐς Ἄμιδαν διήκειν
ξυμβαίνει, τό τε Κιφὰς καὶ Σαυρὰς καὶ Μάργδις τε καὶ
Λούρνης τό τε Ἰδριφθὸν καὶ Ἀταχὰς καὶ Σίφριός τε καὶ
Ῥιπαλθὰς καὶ Βανασυμέων, ἔτι μέντοι καὶ Σινὰς καὶ Ῥά-
σιος, καὶ Δαβανάς, καὶ ὅσα ἄλλα ἐνταῦθα ἐκ παλαιοῦ ἐστι,

22 Ἰδριφθὸν] Idribt Zach. 169, 29.

1 οὔτε ter scripsi] οὐδὲ ter V. ὁτουοῦν l, Hoesch.] ὅτου ἂν V, Maltr., Dind. 3 ἐπεμνήσθην V] ἐμνήσθην A. 5 Πέρσαις] inclusi. 6 αὑτῶν scripsi] αὐτῶν codd. 11 ἐπεὶ V] ἐπειδὴ A. 13 ταμεῖα A. 21 Μάργδις τε] ς et τε evanuerunt in V, Σμαργδίς τε Hoesch., l, Μάρδις Menand. Prot. fr. 60, Μάρδης Ioann. Eph. fr. 5. 22 Ἰδριφθὸν l] δ non satis comparet in V. 23 Βανασυμέων Maltr.] βανὰς ὑμέων V.

γελοιότατα δήθεν τῷ σχήματι ἀποτεθριγκωμένα τὸ πρό-
τερον ἀνοικοδομησάμενος σὺν τῷ ἀσφαλεῖ ἔς τε τὸ νῦν
P 37 φαινόμενον κάλλος τε καὶ ὀχύρωμα μεταθέμενος ἀνάλωτα
εἶναι καὶ προβεβλῆσθαι Ῥωμαίων τῆς γῆς βεβαιότατα
15 κατεστήσατο. ἐνταῦθα ὄρος οὐρανόμηκες ἀποκρέμαται,
16 ἀπόκρημνόν τε καὶ προσελθεῖν ἀμήχανον ὅλως. ἐν πε-
δίῳ δὲ ὑπόκειται χώρα γεώδης τε καὶ μαλθακὴ λίαν,
B 223 ἀγαθὴ μὲν ἀρόσαι, θρέμμασι δὲ ἀτεχνῶς εὔνομος. ἐπι-
17 εικῶς γὰρ τῇ πόᾳ χλοάζει. παμπληθεῖς δὲ κῶμαι παρὰ
τοὺς πρόποδας τοῦ ὄρους εἰσίν. οἰκοῦσί τε αὐτὰς ἄν-
θρωποι τὰ μὲν ἐς κτῆσιν τῶν ἐπιτηδείων εὐδαίμονες,
18 εὐάλωτοι δέ, εἴ τις προσίοι. ὅπερ αὐτοῖς ἐπηνώρθωσεν
Ἰουστινιανὸς βασιλεύς, φρούριον ἐπὶ τοῦ ὄρους τῇ ἀκρω-
νυχίᾳ δειμάμενος, ἵνα δὴ τὰ σφίσιν ἐναποθέμενοι τιμιώ-
τατα, ἐπειδὰν προσίοιεν οἱ πολέμιοι, ἀνατρέχοντες δια-
19 σώζωνται· Βασιλέων δὲ τὸ φρούριον ἐπωνόμασται. καὶ
μὴν καὶ τὰ ἀμφὶ πόλιν Ἄμιδαν φρούρια, πηλῷ τε περι-
βεβλημένα καὶ τοῖς πολεμίοις βάσιμα παντάπασιν ὄντα,
ἐς τὸ ἀκριβὲς ἀνοικοδομησάμενος ἅπαντα ἐς τῆς ἀσφα-
20 λείας τὸ ἀκριβέστατον μετεστήσατο. ἐν οἷς τό τε Ἀπάδ-
νας καὶ τὸ Βιρθὸν πολίχνιόν ἐστιν. ἅπαντα γὰρ ἀκρι-
21 βολογεῖσθαι πρὸς ὄνομα οὐκ εὐπετές ἐστι. συνελόντα
δὲ εἰπεῖν ἅπαντα πρότερον τοῖς ἐπιβουλεύουσιν ὑποκεί-
μενα τανῦν ἀνανταγώνιστα πεποίηκεν εἶναι. καὶ ἀπ'
αὐτοῦ ἡ Μεσοποταμία τῷ Περσῶν γένει ἄβατος διαφα-
νῶς ἐστιν.

22 Οὐ σιωπητέον δὲ οὐδὲ ὅπερ ἐν τῷ Βάρας φρουρίῳ

27 Βάρας] hoc castellum fortasse idem est, quod § 14 dicitur Σαυράς.

1 ἀποτετριγχωμένα V, ἀποτεθριγγωμένα A. 8 θρέμμασι V] θρέμματι A. εὔνομος Maltr.] ἔννομος codd. 21 ἅπαντα γὰρ V] πάντα μὲν οὖν A. 23—24 ὑποκείμενα V] ἀποκείμενα A.

ἐξεῦρεν, οὗπερ ἐπεμνήσθην ἀρτίως. τὰ μὲν γὰρ τοῦ
φρουρίου ἐντὸς ἄνυδρα τὸ παράπαν ὄντα ἐτύγχανεν, ἐν
ὄρει δὲ ὑψηλῷ μάλιστα κατὰ τὸ κρημνῶδες τὸ Βάρας
τοῦτο πεποίηται. ἔκτοσθεν δὲ αὐτοῦ ὡς ἀπωτάτω ἐν τῇ 23
ὑπωρείᾳ μετὰ τὸ πρανὲς ⟨κρήνη ἦν⟩, ἥνπερ ἐδόκει ἀξύμ-
φορον εἶναι τῷ τειχίσματι τοῦ φρουρίου περιβαλεῖν, ὡς
μή τις αὐτοῦ μοῖρα ἐν ὑπτίῳ κειμένη εὐάλωτος εἴη.
ἐπενόει δὲ τάδε. τὰ ἐντὸς τοῦ περιβόλου διορύσσειν 24
ἐκέλευεν ἕως ἐς τὸ ὁμαλὲς μάλιστα ἵκωνται. ὅπερ ἐπεὶ
ὑπετελέσθη κατὰ τὴν τοῦ βασιλέως ἐπίταξιν, ἐπιρρέον B 224
ἐνταῦθα τὸ ὕδωρ ἐκ τῆς πηγῆς παρὰ δόξαν ἐφάνη. οὕτω
τε καὶ τὸ φρούριον δεδημιούργηται ξὺν τῷ ἀσφαλεῖ καὶ
ὕδατος πέρι ἐν ἐπιτηδείῳ φαίνεται κείμενον.

έ. Οὕτω δὲ καὶ Θεοδοσιουπόλεως, τῆς παρὰ ποταμὸν
Ἀβόρραν γῆς τῆς Ῥωμαίων προβεβλημένης, τὸν περί-
βολον, ὅνπερ ὁ χρόνος κατεργάσασθαι μάλιστα ἴσχυσε,
καὶ ἀπ' αὐτοῦ τοῖς τῇδε ἀνθρώποις οὐχ ὑπὲρ τῆς ἀσφα-
λείας ἐδίδου θαρρεῖν, ἀλλὰ διηνεκὲς ἅπαντας ἐξέπλησσε, P 38
δεδισσόμενος ὅτι δὴ οὐκ εἰς μακρὰν αὐτοῖς ἐμπεσεῖται,
ἀνοικοδομησάμενος ἐκ τοῦ ἐπὶ πλεῖστον ὁ βασιλεὺς οὗτος
διακωλύειν τάς γε κατὰ Μεσοποταμίαν Περσῶν ἐσβολὰς
ἱκανῶς ἔσχεν.

Οἷα δὲ καὶ ἐν Κωνσταντίνῃ ἐπιδέδεικται εἰπεῖν ἄξιον. 2
ἦν μὲν τὰ πρότερα ὁ Κωνσταντίνης περίβολος τό τε
ὕψος κλίμακι ἁλωτὸς τήν τε ἄλλην κατασκευὴν εὐέφοδος
ἄγαν, ὥσπερ τι πάρεργον γεγενημένος τοῖς πάλαι ἀν-

3 ὄντα ἐτύγχανεν V] ἐτύγχανον A. 4 ἔκτοσθε V. ἀποτάτω V. 5 ὑπορεία V. ⟨κρήνη ἦν⟩ scripsi, quod κρήνη facile excidit post πρανές, ⟨πηγὴ ἦν⟩ Maltr. 6 τῷ V] τὸ A. τοῦ φρουρίου V] τὸ φρούριον A. 7 μοῖρα ἐν A] ρα ἐν evanuerunt in V. 12 τε V] δὴ A, δὲ Dind. 13 πέρι V] om. A. 14 οὕτω V] ὡσαύτως A. θεοδοσίου πόλεως codd. 15 ἀβόρραν V] ἀβορὰν A.

3 θρώποις. τοσούτῳ γὰρ διειστήκεισαν οἱ πύργοι ἀλλή-
λων ὥστε, εἰ προσβαλοῦντές τινες ἐς τὴν μεταξὺ χώραν
προσίοιεν, οὐκ εἶχον οἱ κατὰ τοὺς πύργους ἑστῶτες καθ'
ὅτι ἂν αὐτοὺς ἀμυνόμενοι ἀποκρούοιντο. ἀλλὰ μὴν καὶ
χρόνου μήκει πεπονηκὼς ἐκ τοῦ ἐπὶ πλεῖστον τοῦ κατα-
4 πεπτωκέναι οὐ μακρὰν που ἐγένετο. πρὸς δὲ καὶ τοι-
οῦτο τῇ πόλει προτείχισμα ἦν οἷον ἐπιτείχισμα κατ'
αὐτῆς γεγονέναι δοκεῖν. οὐ πλέον γὰρ αὐτοῦ ἢ ἐς πόδας
τρεῖς ἐγεγόνει τὸ πάχος, καὶ αὐτὸ μέντοι πηλῷ σύνθε-
τον, τὰ μὲν κάτω ἐς ὀλίγον ἐκ λίθου μυλίτου ἀνεστηκός,
τὰ δὲ ὕπερθεν ἐκ τοῦ λευκολίθου καλουμένου, σφαλεροῦ
τε ὄντος καὶ μαλακοῦ λίαν. ὥστε δὴ ὅλον ἦν τοῖς ἐπι-
5 B 225 οῦσιν εὐάλωτον. βασιλεὺς δὲ Ἰουστινιανὸς τὰ μὲν πε-
πονηκότα τοῦ περιβόλου νέᾳ τινὶ ἀνεσώσατο οἰκοδομίᾳ,
καὶ διαφερόντως τὰ πρὸς ἥλιον δύοντα τετραμμένα καὶ
6 βορρᾶν ἄνεμον. τοῦ δὲ δὴ ἐρύματος πανταχῇ μεταξὺ
πύργοιν δυοῖν ἄλλον ἐντέθεικε, καὶ ἀπ' αὐτοῦ πύργοι
ἅπαντες ὡς ἀγχοτάτω ἀλλήλοις ὄντες τοῦ περιβόλου προ-
7 βέβληνται. ὅλῳ δὲ τῷ τείχει καὶ πᾶσι πύργοις μέγα τι
χρῆμα ὕψους ἐνθέμενος ἄμαχον τοῖς πολεμίοις τὸ τῆς
8 πόλεως ὀχύρωμα κατεστήσατο. ἀλλὰ καὶ ἀνόδους τοῖς
πύργοις κεκαλυμμένας πεποιημένος, τριωρόφους τε αὐ-
τοὺς λίθων ἐπιβολαῖς τεκτηνάμενος κυρτώμασι γεγονυί-
αις θόλων, πυργοκάστελλον αὐτῶν ἕκαστον εἶναί ⟨τε⟩
9 καὶ καλεῖσθαι πεποίηκε. καστέλλους γὰρ τὰ φρούρια τῇ
Λατίνων καλοῦσι φωνῇ. ἀλλὰ καὶ ἀμφὶ τοῖς ὕδασιν ἡ
10 Κωνσταντίνα τὰ ἀνήκεστα ἔπασχε πρότερον. τὰ μὲν γὰρ
ἐκτός, ὅσον ἐκ σημείου ἑνός, πηγαί τέ εἰσι ποτίμων ὑδά-

1 τοσούτῳ V] τοσοῦτο A. 2 προσβαλοῦντες V] προσβαλόντες A. 8 γεγονέναι V] γεγενῆσθαι A δοκεῖν V] δοκεῖ A. 17 δυεῖν V. 22—23 τε αὐτοὺς V] πρὸς αὐτὰς A. 23—24 γεγονυίαις V] γεγονόσι A. 24 ⟨τε⟩ addidit Maltr.

των καὶ ἄλσος ἐνθένδε φύεται ἐπιεικῶς μέγα, οὐρανο-
μήκεσι κατάφυτον δένδροις· τὰ μέντοι ἐντός, ἵνα δὴ οὐκ
ἐφ' ὁμαλοῦ, ἀλλ' ἐν τῷ ἀνάντει τὰς ἀγυιὰς συμβαίνει
εἶναι, ἄνυδρός τε ἦν ἡ πόλις ἐκ παλαιοῦ καὶ δίψῃ τε καὶ
ἀμηχανίᾳ πολλῇ οἱ τῇδε ᾠκημένοι ἐς ἀεὶ εἴχοντο. βασι- 11
λεὺς δὲ Ἰουστινιανὸς ὀχετῷ τὸ ῥεῖθρον μεταβιβάσας τοῦ
τείχους ἐντός, κρήναις τε τὴν πόλιν ἀειρρύτοις διακοσ-
μήσας, οἰκιστὴς ἂν αὐτῆς δικαίως καλοῖτο. τὰ μὲν οὖν
ἐς τάσδε τὰς πόλεις ταύτῃ Ἰουστινιανῷ βασιλεῖ εἰρ-
γασται.

ς'. Ἦν δὲ Ῥωμαίων φρούριον παρὰ ποταμὸν Εὐφρά- P 39
την ἐν τοῖς Μεσοποταμίας ἐσχάτοις, ἵνα δὴ Ἀβόρρας
ποταμὸς τῷ Εὐφράτῃ ἀναμιγνύμενος τὴν ἐκβολὴν ἐν-
ταῦθα ποιεῖται. τοῦτο Κιρκήσιον μὲν ὀνομάζεται, βασι- 2
λεὺς δὲ αὐτὸ Διοκλητιανὸς ἐν τοῖς ἄνω χρόνοις ἐδείματο. B 226
Ἰουστινιανὸς δὲ τανῦν βασιλεὺς χρόνου τε μήκει εὑρὼν 3
συντριβὲς γεγονός, ἀπημελημένον δὲ καὶ ἄλλως ἀφύλα-
κτον ὄν, ἐς ὀχύρωμα βεβαιότατον μετεστήσατο, πόλιν τε
διεπράξατο μεγέθει καὶ κάλλει περιφανῆ εἶναι. Διοκλη- 4
τιανὸς μὲν γὰρ τηνικάδε τὸ φρούριον πεποίηται τοῦτο
οὐχ ὅλον ἐν κύκλῳ τείχει περιβαλών, ἀλλὰ μέχρι μὲν ἐς
ποταμὸν Εὐφράτην ἐπεξαγαγὼν τὴν τοῦ περιβόλου οἰκο-
δομίαν καὶ πύργον ἑκατέρωθι ἀπεργασάμενος ἔσχατον,
ἀπολιπὼν δὲ τὴν ἐνθένδε τοῦ χωρίου πλευρὰν ἀτείχι-
στον ὅλως, ἀποχρῆναι, οἶμαι, τὸ τοῦ ποταμοῦ ὕδωρ ἐς
τὸ τοῦ φρουρίου ὀχύρωμα τῇδε ἡγούμενος. προϊόντος 5
δὲ χρόνου τὸν ἔσχατον πύργον, ὃς δὴ ἐτέτραπτο πρὸς

15 cf. Ammian. 23, 4.

1 ἐνθένδε V] ἔνθεν A. 3 ὁμαλοῦ V] ὁμαλοὺς A. ξυμβαίνει A. 8 αὐτῆς V] αὐτῶν A. 19 περιφανῆ V] διαφανῆ A. 25 οἶμαι V] οἶναι A. 25—26 ἐς τὸ A] τὸ evanuit in V. 27 δὲ V] δὲ τοῦ A.

ἄνεμον νότον, τὸ τοῦ ποταμοῦ ῥόθιον παραξῦον ἐνδε-
λεχέστατα κατέσεισεν ὅλον, ἔνδηλός τε ἦν ὡς, εἰ μὴ βοη-
θοίη τις ὅ τι τάχιστα, καταπεσεῖται αὐτίκα δὴ μάλα.
6 ἐφάνη τοίνυν Ἰουστινιανὸς βασιλεὺς τοῦτο πρὸς τοῦ
θεοῦ κεκομισμένος ἀξίωμα, πάσης ἐπιμελεῖσθαι καὶ ὡς
7 ἔνι μάλιστα μεταποιεῖσθαι τῆς Ῥωμαίων ἀρχῆς· ὃς δὴ
οὐ μόνον τὸν πεπονθότα πύργον ἐσώσατο, ἀνοικοδομη-
σάμενος αὐτὸν μυλίῳ λίθῳ καὶ φύσει σκληρῷ, ἀλλὰ καὶ
τοῦ φρουρίου τὴν ἀτείχιστον πλευρὰν ξύμπασαν ὀχυρω-
τάτῳ περιβέβληκε τείχει, διπλασιάσας αὐτῇ πρὸς τῷ πο-
8 ταμῷ τὴν ἐκ τοῦ περιβόλου ἀσφάλειαν. πρὸς ἐπὶ τού-
τοις δὲ καὶ προτείχισμα ἐχυρώτατον προσεποίησεν αὐτὸς
τῇ πόλει, καὶ διαφερόντως οὗ δὴ τοῖν ποταμοῖν ἡ ἐς
ἀλλήλους ἐπιμιξία τρίγωνον ἀποτελεῖ σχῆμα, ταύτῃ τε
9 τὰς ἐνθένδε τῶν πολεμίων ἐπιβουλὰς ἀπεκρούσατο. καὶ
B 227 στρατιωτικῶν δὲ καταλόγων ἄρχοντα τῇδε καταστησά-
μενος, ὃν δοῦκα καλοῦσι, διηνεκὲς ἐνταῦθα καθιζησό-
μενον, ἀποχρῶν φυλακτήριον πεποίηκεν εἶναι τῇ τῆς
10 πολιτείας ἀρχῇ. καὶ τὸ βαλανεῖον δέ, ὅπερ δημοσίᾳ τὴν
χρείαν τοῖς τῇδε ᾠκημένοις παρέχεται, ἀνόνητον ὅλως
τῇ τοῦ ποταμοῦ ἐπιρροῇ γεγενημένον ἐνεργεῖν τε τὰ
ξυνειθισμένα οὐκέτι ἔχον, ἐς τὸν νῦν ὄντα μετέθηκε
11 κόσμον. ὅσα μὲν γὰρ αὐτοῦ ἀπεκρέματο πρότερον ἐπὶ
στερρᾶς τῆς οἰκοδομίας ἑστῶτα κατὰ τὸ τῶν λουτρῶν τῇ
χρείᾳ συνοῖσον (ὧν δὴ ἔνερθε τὸ πῦρ καίεται, χυτρόπο-
P 40 δάς τε καλεῖν αὐτὰ νενομίκασι), ταῦτα δὴ ἅπαντα τῇ
τοῦ ὕδατος ἐπιρροῇ ἀποκείμενα πρόσθεν εὑρών, καὶ ἀπ'
αὐτοῦ τὴν χρείαν τῷ βαλανείῳ διεφθαρμένην, λίθων

2 κατέσεισεν V] κατέσειεν A. ἔνδηλός V] εὔδηλος A. 23 ἀπε-κρέμματο V. 24 τῶν λουτρῶν Braun] τῷ λουτρῷ V. 25—26 χυτρόποδάς Maltr.] κυθρόποδας V.

μὲν αὐτὸς ἐμπεδώσας ἐπιβολαῖς ὅσα πρότερον ἀπεκρέ-
ματο, ἧπέρ μοι εἴρηται, ἑτέραν καθύπερθεν ἀποκρεμάσας
οἰκοδομίαν, ἵνα δὴ ἀπρόσοδα τῷ ποταμῷ ἐστιν, ἀνεσώ-
σατο τὴν ἐνθένδε εὐπάθειαν τοῖς τῇδε φρουροῖς. τὰ
μὲν δὴ τοῦ Κιρκησίου ἐς τόνδε τὸν τρόπον δεδημιούρ-
γηται τῷ βασιλεῖ τούτῳ.
Μετὰ δὲ τὸ Κιρκήσιον φρούριόν ἐστι παλαιόν, Ἀννού- 12
κας ὄνομα, οὗπερ ἐρείπιον τὸ τεῖχος εὑρὼν οὕτω δὴ
μεγαλοπρεπῶς ἀνῳκοδομήσατο Ἰουστινιανὸς βασιλεὺς ὡς
μηδὲ τῶν τινος ἐπιφανεστάτων πόλεων ὀχυρώματος πέρι
τὰ δευτερεῖα τὸ λοιπὸν φέρεσθαι. τρόπῳ δὲ τῷ αὐτῷ 13
καὶ τὰ φρούρια, ὅσα δὴ ἀμφὶ πόλιν Θεοδοσιούπολιν κεῖ-
ται, τὰ μὲν ἀτείχιστα τὸ πρότερον ὄντα, τὰ δὲ πηλῷ τε
καὶ τῇ ἐνθένδε γελωτοποιίᾳ τετειχισμένα αἱμασιᾶς τρό-
πον, φοβερά τε τανῦν καὶ τὸ παράπαν ἀπρόσβατα τοῖς
ἐπιοῦσιν εἰργάσατο· τό τε Μαγδαλαθὼν σὺν ἑτέροιν 14
δυοῖν, ἅπερ αὐτοῦ ἑκατέρωθεν τυγχάνει ὄντα, καὶ Θαν-
νούριος δύο, μικρόν τε καὶ μέγα, καὶ Βιμισδεὼν καὶ B 228
Θήμερες, ἔτι δὲ Βιδάμας καὶ Δανσαρὼν καὶ Θιόλλα,
Φιχάς τε καὶ Ζαμαρθὰς καὶ τὰ λοιπὰ ὡς εἰπεῖν ἅπαντα.
ἦν δέ τις χῶρος παρὰ Θαννούριος τὸ μέγα, ᾧ δὴ ἐπι- 15
χωριάζειν Σαρακηνοῖς τοῖς πολεμίοις διαβαίνουσι ποτα-
μὸν Ἀβόρραν πολλὴ ἐξουσία ἐγίνετο, ἔνθεν δὲ ὁρμωμέ-
νοις διασκεδάννυσθαι μὲν ἀνά τε τὴν ὕλην δασεῖάν τε
καὶ ἀμφιλαφῆ οὖσαν καὶ τὸ ὄρος, ὃ ταύτῃ ἀνέχει, κατα-
θεῖν τε ἀδεέστερον τοὺς ᾠκημένους ἀμφὶ τὰ ἐκείνῃ χω-
ρία Ῥωμαίους. ἀλλὰ νῦν πύργον κομιδῇ μέγαν ἐκ λίθου 16
σκληροῦ Ἰουστινιανὸς βασιλεὺς ἐν τῷ χώρῳ τούτῳ δει-

1—2 ἀπεκρέματο Maltr.] ἀποκρέμαται V. 17 δυοῖν Hoesch.] δυεῖν V. 25 ἀμφιλαφῆ V. 26 τε V] δὲ A. 27 μέγαν l, A] non satis comparet in V.

μένος ἐνταῦθά τε φρουρὰν ἀξιολογωτάτην καταστη-
σάμενος ἀνεστέλλειν τὰς τῶν πολεμίων ἐπιδρομὰς παν-
τελῶς ἴσχυσε, τοῦτον ἐπιτεχνησάμενος κατ' αὐτῶν πρό-
βολον.

ζ. Τὰ μὲν ἐπὶ Μεσοποταμίας τῇδε Ἰουστινιανῷ βα-
σιλεῖ εἴργασται. ἀναγκαῖον δέ μοι ἐνταῦθα τοῦ λόγου
Ἐδέσσης τε καὶ Καρρῶν καὶ Καλλινίκου καὶ τῶν ἄλλων
πολιχνῶν ἁπασῶν ἐπιμνησθῆναι, ὥσπερ ἐκείνῃ ξυμβαίνει
2 εἶναι, ἐπεὶ καὶ αὐταὶ τοῖν ποταμοῖν μεταξὺ κεῖνται. τὴν
Ἔδεσσαν ποταμὸς παραρρεῖ τὸ ῥεῦμα βραχύς, Σκιρτὸς
ὄνομα, ὃς δὴ ἐκ χωρίων πολλῶν ξυνάγων τὸ ῥεῖθρον
3 ἐπὶ τὴν πόλιν φέρεται μέσην. ἐνθένδε τε ἐξιὼν ἐπίπρο-
P 41 σθεν ἵεται, ἐπειδὰν αὐτάρκη παρέχηται τῇ πόλει τὴν
χρείαν τῶν τε εἰσόδων αὐτοῦ καὶ ἐκβολῶν δι' ὀχεταγω-
γίας κατὰ τὸ τεῖχος πεποιημένων τοῖς πάλαι ἀνθρώποις.
4 οὗτός ποτε ὁ ποταμός, ὄμβρων οἱ ἐπιγενομένων πολλῶν,
ὑπερπεφυκὼς τε ὕψοῦ ἀνεῖχε καὶ ὡς καταλύσων τὴν
5 πόλιν ἐχῄει. τοῦ τοίνυν προτειχίσματος καὶ τοῦ περι-
βόλου καθελὼν ἐς τὸ ἔδαφος πολλήν τινα μοῖραν τὴν
B 229 πόλιν περιεβάλετο σχεδόν τι ὅλην, ἔργα τε ἀνήκεστα
τῇδε εἰργάσατο. τῶν τε γὰρ οἰκοδομημάτων τὰ κάλλιστα
ἐξίτηλα ἐξαπιναίως πεποίηται καὶ τῶν ἀνθρώπων τὸ
6 τριτημόριον διεχρήσατο. βασιλεὺς δὲ Ἰουστινιανὸς μὴ
ὅτι ἀνεσώσατο τῇ πόλει τὰ καθῃρημένα εὐθὺς ἅπαντα,
ἐν οἷς ἥ τε τῶν Χριστιανῶν ἐκκλησία καὶ ὁ καλούμενος
Ἀντίφορος ἦν, ἀλλὰ καὶ ὅπως μή τι αὐτῇ καὶ αὖθις
7 τοιοῦτο ξυμβαίη διεπράξατο σπουδῇ τῇ πάσῃ. πορείαν

10 cf. an. 18, 38.

5 μὲν codd.] μὲν ⟨οὖν⟩ Maltr. 6 εἴργασται V] εἴργαστο A. 7 ἐδέσσης A] ἐδέσης V. Καρρῶν Maltr.] καρῶν V. 14 εἰσόδων l] σόδω evanuit in V.

γὰρ ἑτέραν πρὸ τοῦ περιβόλου τῷ ποταμῷ νεοχμοῦν
ἴσχυσε, τοιᾷδε αὐτὸν περιελθὼν τέχνῃ. τὰ μὲν ἐν δεξιᾷ 8
τοῦ ποταμοῦ ὕπτιά τε καὶ χθαμαλὰ πρότερον ἦν, τὰ δὲ
δὴ ἐν ἀριστερᾷ ὄρος ἀπότομον, οὐκ ἐπιχωροῦν αὐτῷ
ἐπικλίνειν που ἢ ἐκτρέπεσθαι τῆς ξυνειθισμένης ὁδοῦ,
ἀλλ' ἐπὶ τὴν πόλιν αὐτὴν διωθούμενον ἀνάγκῃ τῇ πάσῃ.
οὐ γὰρ ἦν τι αὐτὸν ἐπὶ δεξιᾷ ξυμποδίζον, ἡνίκα ἂν τῆς
πόλεως εὐθὺ φέροιτο. τοῦτο οὖν τὸ ὄρος ἀποτεμὼν ὅλον 9
κοῖλα μὲν τοῦ ποταμοῦ τὰ ἐν ἀριστερᾷ καὶ γλαφυρώτερα
τῆς αὐτοῦ πορείας κατεσκευάστο, ἐν δεξιᾷ δὲ τοῖχον ὑπερ-
μεγέθη ἐκ λίθων ἁμαξιαίων συνέστησεν, ὥστε, εἰ μὲν
κατὰ τὰ εἰωθότα ὁ ποταμὸς μέτριος φέρηται, μήποτε
ἀποστεροῖτο τῆς ἐνθένδε ὠφελείας ἡ πόλις, ἐπειδὰν δὲ
τύχῃ τινὶ ἐς ὕψος ἀρθεὶς ὑπερβλύζοι, μετρία μέν τις
αὐτοῦ ἐκροὴ ἐπὶ τὴν πόλιν κατὰ τὰ ξυνειθισμένα χωροίη,
τοῦ δὲ ῥοθίου τὸ ἐπιγινόμενον ἐς τὴν Ἰουστινιανοῦ ἐπι-
τέχνησιν ἀναγκαστὸν ἴοι, ἐς τοῦ ἱπποδρόμου τὰ ὄπισθεν
οὐ μακρὰν που ὄντος τέχνῃ τε ἀνθρωπείᾳ καὶ γνώμῃ
προμηθεῖ παρὰ δόξαν νενικημένον. ἀλλὰ καὶ τῷ ποταμῷ 10
τῆς πόλεως γινομένῳ ἐντὸς ὀρθήν τινα πορείας ἀνάγκην
ἀπεργασάμενος, ὕπερθέν τε οἰκοδομίαν ἑκατέρωθι ἐπι-
κρεμάσας, ὡς μὴ ἐκτρέπεσθαι τῆς ὁδοῦ δύναιτο, καὶ τὴν B 230
χρείαν τῇ πόλει ἐσώσατο καὶ δέους αὐτὴν τοῦ ἐνθένδε
ἀπήλλαξεν. ἐτύγχανε δὲ τὸ Ἐδέσσης τεῖχος καὶ προτεί- 11
χισμα οὐδέν τι ἧσσον διὰ χρόνου μῆκος ἐν τοῖς ἐρειπίοις
ταττόμενον ἐκ τοῦ ἐπὶ πλεῖστον. διὸ δὴ ἄμφω ἀνοικο- 12
δομησάμενος βασιλεύς, νέα τε αὐτὰ κατεστήσατο καὶ
πολλῷ ἐχυρώτερα ἢ πρότερον ἦν. μοῖρα δέ τις τοῦ 13
Ἐδέσσης περιβόλου φρούριον κέκτηται, ἧς δὴ ἔκτοσθεν

15 ἐκροὴ Hoesch] ἐκρροὴ V. 24 δὲ V] γὰρ A. τὸ V] om. A. ἐδέσης V. καὶ V] καὶ τὸ A.

τις ἐπανειστήκει λόφος ὡς πλησιαίτατα ὑποκειμένῃ ἐπι-
14 κύπτων ἐνταῦθα τῇ πόλει· ὅνπερ ἐκ παλαιοῦ καταλα-
βόντες ἐπιτείχισμά τι οἱ ἐπιχώριοι ἐντὸς τοῦ περιβόλου
15 πεποίηνται, ὡς μὴ ἐπίμαχον ποιοίη τὴν πόλιν. ἀλλὰ
ταύτῃ ἐπιμαχωτέραν αὐτὴν παρὰ πολὺ ἀπειργάσαντο·
διατείχισμα γὰρ ὡς βραχύτατον ἐπὶ τῷ ἀνειμένῳ τῆς γῆς
κείμενον καὶ παιδαρίοις τειχομαχίαν ἐμμελετῶσιν ἁλώ-
16 P 42 σιμον ἦν. οὗ δὴ ἐνθένδε καθῃρημένου ἕτερον ἐν τῇ τοῦ
ὄρους ὑπερβολῇ τεῖχος ἀνέστη, βασιλέως Ἰουστινιανοῦ
διαπόνημα, δέος μὲν ἐξ ἐπιθέσεως καθύπερθε γενησο-
μένης οὐδαμῆ ἔχον, συγκαταβαῖνον δὲ τῇ ὑπωρείᾳ μέχρι
ἐς τὸ πρανὲς ἑκατέρωθεν καὶ τῷ περιβόλῳ ἐναρμοζόμενον.
17 Ἀλλὰ μὴν καὶ Καρρῶν καὶ Καλλινίκου πόλεως τά τε
τείχη καὶ τὰ προτειχίσματα καθελών, ἅπερ ὁ πολὺς αἰὼν
μεταξὺ ἐπιρρεύσας διέφθειρε, τανῦν τε ἀκραιφνῆ ἀπερ-
18 γασάμενος, ἀμαχώτατα κατεστήσατο. ἔτι μέντοι καὶ φρού-
ριον, ὃ ἐν Βάτναις ἦν, ἀτείχιστόν τε καὶ ἀπημελημένον
τὰ πρότερα ὄν, τείχεσιν ἐχυρωτάτοις περιβαλὼν ἐς τὸν
νῦν φαινόμενον μετήνεγκε κόσμον.

η'. Ταῦτα μὲν οὖν τρόπῳ, ᾧπέρ μοι ἐρρήθη, ἐπί τε
Μεσοποταμίας καὶ Ὀσροηνῆς τῆς καλουμένης Ἰουστι-
2 B 231 νιανῷ βασιλεῖ πεποίηται. ὅντινα δὲ τρόπον Εὐφράτου
ποταμοῦ τὰ ἐν δεξιᾷ ξυμβαίνει εἶναι, ἐγὼ δηλώσω. τὰ
μὲν ἄλλα Ῥωμαίων τε καὶ Περσῶν ὅρια τῇδέ πῃ ἔχει.
γειτονοῦσιν ἑκατέρων ἀλλήλοις χωρία, ὁρμώμενοί τε ἀπὸ
3 τῶν οἰκείων ἀμφότεροι καὶ διαμάχονται καὶ συμβάλλουσι
τὰς συναλλαγάς, οἷά γε τὰ ἀνθρώπεια, ὁπηνίκα τοῖς τε

17 cf. I 208, 28.

6 ἀνειμένῳ scripsi] ἀνεσταμένωι V, ἀνατεταμένῳ Hoesch. in marg., cf. infra V 5, 8   13 καρῶν codd.   15 τανῦν τε] νῦν τε evanuerunt in V.

ἤθεσι καὶ ταῖς πολιτείαις διάφοροι ὄντες χώραν τινὰ
ὅμορον ἔχουσιν. ἐν δέ γε τῇ πάλαι μὲν Κομμαγηνῇ 4
χώρᾳ, τανῦν δὲ καλουμένῃ Εὐφρατησίᾳ, οὐδαμῆ ἀλλή-
λων ἄγχιστα ᾤκηνται. χώρα γὰρ ἔρημος καὶ ἄγονος ὅλως
διορίζει ἐπὶ μακρότατον τὰ Ῥωμαίων τε καὶ Περσῶν ὅρια,
περιμάχητόν τε οὐδὲν ἔχουσα. ἑκάτεροι μέντοι ἐν ἐρήμῳ, 5
ἥπερ ἄγχιστα γῆς τῆς πρὸς αὐτῶν οἰκουμένης τυγχάνει
οὖσα, φρούρια παρέργως ᾠκοδομήσαντο ἐκ πλίνθου
ὠμῆς· ἅπερ ἐπιβουλῆς οὐδεμιᾶς παρὰ τῶν πέλας ἔτυχε 6
πώποτε, ἀλλ' ἀνεπιφθόνως ἀμφότεροι τῇδε ᾠκήσαντο,
ἐπεὶ οὐκ εἶχον οὐδὲν ὅτου ἂν καὶ οἱ ἐναντίοι ἐφεῖντο.
βασιλεὺς δὲ Διοκλητιανὸς τρία φρούρια τὸν τρόπον τοῦ- 7
τον ἐν τῇ ἐρήμῳ ταύτῃ ἐδείματο· ὧνπερ ἕν, Μαμβρὶ
ὄνομα, καταπεπονηκὸς τῷ μακρῷ χρόνῳ Ἰουστινιανὸς
ἀνενεώσατο βασιλεύς.

Τούτου δὲ τοῦ φρουρίου ἐκ σημείων μάλιστα πέντε 8
ἐς τὰ Ῥωμαίων ἤθη ἰόντι Ζηνοβία ποτὲ Ὀδονάθου γυνὴ
τῶν ἐκείνῃ Σαρακηνῶν ἄρχοντος πόλιν ᾤκισέ που ἐν-
ταῦθά τινα ἐν τοῖς ἄνω χρόνοις βραχεῖαν, καὶ τὸ ὄνομα
ἀφῆκε τῇ πόλει. Ζηνοβίαν γὰρ αὐτήν, ὡς τὸ εἰκός, ἐπω- 9
νόμασεν. ἀλλὰ πολὺς ἄγαν μετὰ ταῦτα ἐπιρρεύσας ὁ
χρόνος ἐρείπιον αὐτῆς τὸν περίβολον κατεστήσατο, ἅτε P 43
Ῥωμαίων αὐτῆς ἐπιμελεῖσθαι οὐδαμῆ ἀξιούντων, ἔρημόν
τε αὐτὴν τῶν ἐνοικούντων παντάπασι διειργάσατο. 10 B 232
παρῆν οὖν Πέρσαις κατ' ἐξουσίαν, ἡνίκα ἂν ᾖ βουλομένοις
σφίσιν, ἐν μέσοις γενέσθαι Ῥωμαίοις, ἀνηκόοις ἔτι τῆς

2 κομαγηνῇ A.   4 ᾤκηνται V] ᾤκηνται ῥωμαῖοι καὶ πέρσαι A.   5 τὰ ῥωμαίων τε καὶ περσῶν V] ἑκατέρων τὰ A.   9—10 ἅπερ — ᾠκήσαντο V] ἄγχιστα γῆς τῆς πρὸς αὐτῶν οἰκουμένης ἑκάτεροι A.   12 δὲ V] οὖν A.   13 ἕν, μαμβρὶ A] ἐν μαβρὶ V pr. m., ἐμμαβρὶ V corr.   17 ὀδονάθου A] ὀδοθάνου V.   18 ᾤκισέ Hoesch.] ᾤκησε codd.

11 τῶν πολεμίων ἐφόδου οὖσιν. ἀλλὰ τὴν Ζηνοβίαν Ἰου-
στινιανὸς βασιλεὺς ἀνοικοδομησάμενος σύμπασαν, οἰκη-
τόρων τε κατακόρως ἐμπλησάμενος, ἄρχοντά τε στρα-
τιωτικῶν καταλόγων καὶ διαρκὲς ἄγαν καταστησάμενος
φυλακτήριον, πρόβολον μὲν εἶναι τῆς Ῥωμαίων ἀρχῆς,
12 ἐπιτείχισμα δὲ διεπράξατο Πέρσαις· ὅς γε οὐχ ὅσον τὸ
πρότερον ἀπέδωκε σχῆμα, ἀλλὰ καὶ πλεῖστον ἐχυρωτέραν
εἰργάσατο ἢ πρότερον ἦν. σκόπελοι γὰρ αὐτὴν περι-
13 βάλλουσιν ὡς ἀγχοτάτω. τοῖς τε πολεμίοις διὰ ταῦτα
ἐξῆν τοὺς ἐκ τοῦ περιβόλου ἀμυνομένους κατὰ κορυφὴν
14 ἐνθένδε βάλλειν. ὅπερ ἀποκρούεσθαι διὰ σπουδῆς ἔχων
οἰκοδομίαν τινὰ τῇ τοῦ περιβόλου ὑπερβολῇ ἑτέραν ἐνῆψε
κατ' αὐτὸ μάλιστα τὸ τῶν σκοπέλων γειτόνημα, προκά-
λυμμα τοῖς ἐνθένδε μαχομένοις ἀεὶ ἐσομένην. πτερὰ τὴν
οἰκοδομίαν καλοῦσι ταύτην ἐπεὶ ὥσπερ ἀποκρέμασθαι
15 τοῦ τείχους δοκεῖ. ἅπαντα μὲν οὖν ὅσα βασιλεὺς ἐπὶ
Ζηνοβίας εἰργάσατο φράσαι ἀμήχανον, ἐπεὶ ἐν χώρῳ ἐπὶ μακρότατον ἀγείτονι οὖσαν καὶ διὰ τοῦτο μὲν ἐν κινδύνοις ἀεὶ ἐσομένην, ἐπικουρίας δὲ τυχεῖν Ῥωμαίων πλησιοχώρων οὐκ ὄντων αὐτῇ οὐκ ἂν δυναμένην, βεβαιοτάτης, ὡς τὸ εἰκός, ἐπιμελείας μάλιστα πάντων ἠξίωσεν· ὀλίγα δέ μοι ἄττα τῶν τῇδε πεπραγμένων γεγράψεται.
16 Παραρρεῖ μὲν τὴν Ζηνοβίαν Εὐφράτης ποταμὸς πρὸς
ἀνίσχοντά που τὸν ἥλιον, ὡς ἀγχοτάτω τοῦ ἐκείνῃ περι-
βόλου ἰών, ὀρῶν δὲ παρ' αὐτὸν ὑψηλῶν ἀνεχόντων ἐν
B 233 τούτῳ τῷ χώρῳ διασκεδάννυσθαι οὐδαμῆ ἔχων, ἀλλ' ἀνάγκῃ τοῦ γειτονήματος τῶν ἐνταῦθα ὀρῶν, ταῖς τε ὄχθαις σκληραῖς οὔσαις πεπιεσμένος καὶ ἐν στενῷ μάλιστα ξυνάγων τὸ ῥεῦμα, ἐπειδὰν αὐτῷ ὄμβρων ἐπιγενομένων ὑπερβλύζειν ξυνενεχθείη, ἐπιχυθεὶς τῷ τείχει, εὐθὺς οὐκ ἀμφὶ τὰ θεμέλια μόνον, ἀλλ' ἄχρι ἐς τὰς
ἐπάλξεις ἐπέκλυζεν. οὗ δὴ τῷ ῥοθίῳ καταβεβρεγμένου 17
ξυνέβαινε τὰς ἐπιβολὰς ξυγχεῖσθαι τῶν λίθων, ἐπὶ σφα-
λερᾶς τε αὐτῶν τὸ λοιπὸν τῆς ξυνθήκης ἑστάναι. ἀλλὰ 18
[λίθον] παμμεγέθη ἐκ λίθου μυλίου πρόβολον τῷ περιβόλῳ ἰσομήκη ἀπεργασάμενος ἐνταῦθα μὲν ἀεὶ ἐνοχλεῖν τὸ τοῦ ποταμοῦ κλυδώνιον ὑπερβλύζοντος κατηνάγκασεν, ἐλεύθερον δὲ τὸ παράπαν τῆς ἐνθένδε λώβης τὸ τεῖχος ἀφῆκεν, ἣν καὶ τὰ μάλιστα ὁ ποταμὸς κυμαίνων ἐς ὕψος
ἐγείρηται μέγα. ταύτης δὲ τῆς πόλεως τὸν περίβολον, ὃς 19
δὴ αὐτῆς ἐτέτραπτο πρὸς βορρᾶν ἄνεμον, πεπονηκότα
παντάπασι χρόνου μήκει εὑρών, παρέλυσε μὲν σὺν τῷ
προτειχίσματι ἐς τὸ ἔδαφος, ἀνῳκοδομήσατο δὲ οὐχ ᾗπερ
τὸ πρότερον ἦν, ἐπεὶ ἐνταῦθα αἱ τῆς πόλεως οἰκοδομίαι
στενοχωρούμεναι μάλιστα τοὺς ταύτῃ ᾠκημένους ἠνίων. P 44
ἀλλὰ τὴν προτέραν ὑπερβὰς τῶν τε θεμελίων τοῦ περι- 20
βόλου καὶ τοῦ προτειχίσματος χώραν, ἔτι μέντοι καὶ τὴν
τάφρον αὐτήν, ἐνταῦθα τὸ τεῖχος ἐδείματο ἀξιοθέατόν
τε καὶ διαφερόντως εὐπρόσωπον, ταύτῃ εὐρυτέραν παρὰ
πολὺ τὴν Ζηνοβίαν πεποιημένος. ἀλλὰ καὶ λόφος τις 21
[πρὸ τῆς πόλεως] ἄγχιστα τῆς πόλεως εἱστήκει πρὸς
δύοντά που τὸν ἥλιον· ἐξ οὗ δὴ παρῆν τοῖς ἐπιοῦσιν
ἀεὶ βαρβάροις βάλλειν κατὰ κορυφὴν ἀδεέστερον τούς
τε ἀμυνομένους αὐτῆς καὶ οὐχ ἥκιστα τοὺς ἐν μέσῃ πό-
λει ἑστῶτας. τούτῳ οὖν τῷ λόφῳ τείχισμα ἐνάψας Ἰου- 22 B 234
στινιανὸς βασιλεὺς ἑκατέρωθεν, ἐντός τε αὐτὸν τῆς Ζη-

3 κατακόρως V corr.] κατακόρον V pr. m. 8 σκόπελλοι V Maltr., cf. p. 60, 27. 12—13 ἐνῆψε κατ' V] ἀνῆψε παρ' A. 16 βασιλεὺς ⟨οὗτος⟩ 23 μὲν V] δὲ A. 24 ἀγχωτάτω A.

7 [λίθον] delet Maltr. παμμεγέθη V] εὐμεγέθη A. 7—8 τῷ περιβόλῳ V] τοῦ περιβόλου A. 11 τὰ V] om. A. κυμαίνων A] κυματῶν V. 23 πρὸ τῆς πόλεως V] inclusi.

νοβίας καταστησάμενος, ἔξυσε μὲν ὅλον ἐνδελεχέστατα,
ὡς μή τις κακουργήσων ἐνθένδε ἀνίοι, τείχισμα δὲ ἄλλο
τοῦ λόφου ὕπερθεν ἔθετο, ἀπρόσοδόν τε ὅλως τὴν πόλιν
23 οὕτως τοῖς ἐπιβουλεύειν ἐθέλουσιν ἀπειργάσατο. τοῦ
μὲν γὰρ λόφου ἐκτὸς κοίλην εἶναι τὴν γῆν ἐς ἄγαν συμ-
βαίνει, καὶ διὰ τοῦτο ἐγγυτέρω ἰέναι τοὺς πολεμίους
24 ἀδύνατον. ὑπὲρ γῆν δὲ τὴν κοίλην εὐθὺς τὰ ὄρη ἀνέχει,
ἃ πρὸς ἥλιον δύοντα τέτραπται. οὐ μόνον δὲ τῇ πόλει
τὰ ἐς τὴν ἀσφάλειαν οὗτος ὁ βασιλεὺς ἐπρυτάνευσεν,
ἀλλὰ καὶ ἱερὰ ταύτῃ ἀνέθηκε καὶ στρατιωτικῶν σημείων
25 οἰκίας. ἔτι μέντοι λουτρῶνας καὶ στοὰς προσεποίησεν
αὐτῇ δημοσίας. ἐς ταῦτα δὲ πάντα Ἰσίδωρός τε καὶ
Ἰωάννης μηχανοποιοὶ τὴν ὑπουργίαν παρέσχοντο, Βυ-
ζάντιος μὲν Ἰωάννης, Ἰσίδωρος δὲ Μιλήσιος γένος, Ἰσι-
δώρου ἀδελφιδοῦς, οὗπερ ἔμπροσθεν ἐπεμνήσθην, νεα-
νίαι μὲν ἄμφω, δύναμιν δὲ φύσεως ὑπὲρ τὴν ἡλικίαν
ἐπιδειξάμενοι καὶ τῇ ἐμπειρίᾳ τῶν τοῦ βασιλέως συν-
ακμάσαντες ἔργων.

θ'. Μετὰ δὲ τὴν Ζηνοβίαν τὸ Σούρων πόλισμα, πρὸς
τῷ Εὐφράτῃ ποταμῷ κείμενον, οὕτω δὴ εὐκαταφρόνητον
τὸ τείχισμα εἶχεν ὥστε Χοσρόην προσβαλόντα ποτὲ οὐδὲ
ὅσον ἡμιώριον ἀπεκρούσατο, ἀλλ' εὐθυωρὸν ἑάλω Πέρ-
2 σαις. ἀλλὰ καὶ τοῦτο, ὥσπερ Καλλίνικον, Ἰουστινιανὸς
βασιλεὺς ἀνοικοδομησάμενος τὸ πολίχνιον ὅλον τείχει τε
ἐχυρωτάτῳ περιβαλὼν καὶ προτειχίσματι κρατυνάμενος
μηκέτι εἴκειν προσβάλλουσι πολεμίοις διεσκευάσατο.

15 cf. ae. I 1, 24; 70. ae. II 8, 7.

11 οἰκίας V] οἰκία A. 12 δημοσίας A] δημόσια V. 17 τῶν
τοῦ V rec. m.] τοῦ V pr. m. 19 τὴν V] om. A. 22 εὐθύ-
ωρον codd. 23 καλλίνικον A] καλλινίκιον V.
ἔχειν A. διεσκευάσατο V] μετεσκευάσατο A 26 εἴκειν V]

Ἔστι δέ τις νεὼς Σεργίῳ ἀνειμένος ἐν τῇ Εὐφρατησίᾳ 3
ἐπιφανεῖ ἁγίῳ, ὃν δὴ σέβοντές τε καὶ τεθηπότες οἱ B 235
πάλαι ἄνθρωποι Σεργιούπολίν τε ἐπωνόμασαν τὸ χωρίον
καὶ τειχίσματι βραχυτάτῳ περιβεβλήκεσαν, ὅσον τοὺς
ἐκείνῃ Σαρακηνοὺς ἀποκρούεσθαι οἷόν τε εἶναι ἐξ ἐπι- P 46
δρομῆς αὐτὸ ἐξελεῖν. ἀδύνατοι γὰρ τειχομαχεῖν εἰσι 4
Σαρακηνοὶ φύσει, καί τι αὐτῶν, ἂν οὕτω τύχοι, τεί-
χισμα φαυλότατον καὶ πηλῷ σύνθετον ἐμπόδιον τῇ ὁρμῇ
γίνεται. ἀλλ' ὕστερον ὁ νεὼς οὗτος κειμηλίων προσόδῳ 5
δυνατός τε καὶ ἀπόβλεπτος διὰ παντὸς ἦν. ὃ δὴ λογι- 6
σάμενος Ἰουστινιανὸς βασιλεὺς τὸ πρᾶγμα εὐθὺς ἐν ἐπι-
μελείᾳ πεποίηται, τείχει τε ἀξιολογωτάτῳ ἐν τοῖς μάλιστα
περιβέβληκε, καὶ ὑδάτων θησαυρίσας μέγα τι χρῆμα πλή-
θειν αὐτοῖς ἐσκευάσατο. ἔτι μέντοι καὶ οἰκίας τε καὶ 7
στοὰς καὶ τὰς ἄλλας οἰκοδομίας τῷ χωρίῳ ἐντέθεικεν,
ἃ δὴ πόλεως ἐγκαλλωπίσματα γίνεσθαι εἴωθεν. ἀλλὰ 8
καὶ φρουρὰν τῇδε στρατιωτῶν εἰς καιρὸν τοῦ περιβόλου
ἀμυνομένων ἱδρύσατο. Χοσρόης ἀμέλει ὁ Περσῶν βασι- 9
λεὺς ἐν σπουδῇ πεποιημένος τὴν πόλιν ἑλεῖν στράτευμά
τε αὐτῇ ἐπὶ πολιορκίᾳ πολὺ ἐπιστήσας ἄπρακτος ἐνθένδε
ὀχυρώματος ἰσχύϊ τὴν προσεδρείαν διέλυσε.

Καὶ πολίσματα δὲ καὶ φρούρια πάντα ἐν ἐσχατιαῖς 10
τῶν Εὐφρατησίας ὁρίων ὄντα τῆς ὁμοίας ἐπιμελείας
ἠξίωσε, Βαρβαλισσοῦ τε καὶ Νεοκαισαρείας καὶ τοῦ Γα-
βούλων καλουμένου καὶ τῆς πρὸς Εὐφράτῃ τῷ ποταμῷ
Πεντακωμίας καὶ τοῦ Εὐρωποῦ, ἔτι μέντοι καὶ τοῦ κα-

1 τις V] om. A. 3 σεργιόπολίν A. 5 ἐκείνῃ V] ἐκεῖ A.
10 τε V] om. A. 13—14 πλήθειν Al] π evanuit in V. 16 ἐγ-
καλλωπίσματα Maltr.] ἐγκαλοπίσματα V. 20 πολιορκίᾳ l] πο-
λιορκίαν V. 23 Εὐφρατησίας Maltr.] εὐφρατησίαις V, εὐφρα-
τησίων A. 24 Βαρβαλισσοῦ scripsi] βαρβαλισοῦ V, cf. I 204, 18.
26 Εὐρωποῦ scripsi] εὐρώπου V.

λουμένου Ἡμερίου τὰ τείχη εὑρὼν πὴ μὲν παρέργως τε
καὶ ἐπὶ σφαλερᾶς τῆς οἰκοδομίας γεγενημένα, πὴ δὲ καὶ
μόνῳ περιβεβλημένα πηλῷ, πιεζόμενα δὲ καὶ ὕδατος
ἀπορίᾳ πολλῇ καὶ ἀπ' αὐτοῦ τοῖς πολεμίοις εὐκαταφρό-
B 236 νητα παντάπασιν ὄντα, καθεῖλε μὲν εἰς τὸ ἔδαφος, ἐς δὲ
τὸ ἀκριβὲς λίθων ἐπιβολαῖς σκληρῶν μάλιστα δειμάμε-
νος εὐθὺς ἅπαντα, εὔρους τε καὶ ὕψους μέγα τι χρῆμα
τῷ ἔργῳ κατὰ λόγον ἐνθέμενος, καὶ ὑδάτων ταμιεῖα
τεχνησάμενος πανταχόσε τῶν ὀχυρωμάτων παμπληθῆ,
ταῦτά τε κατακορῆ ὕδασιν ὀμβρίοις καταστησάμενος
ἅπαντα, ἱδρυσάμενος δὲ καὶ φρουρῶν ὅμιλον, ἐς τὴν νῦν
φαινομένην ἀσφάλειαν καρτερώτατα τὴν αὐτοῦ ἐπικρά-
11 τειαν μετεβίβασεν. ἃ δὴ ἐπὶ μακρότατον ἄν τις διασκο-
πούμενος τάς τε ἄλλας ἁπάσας Ἰουστινιανοῦ βασιλέως
ἀγαθοεργίας ὑπεριδών, τούτου δὴ μόνου φαίη ἂν εἵνεκα
τὴν βασιλείαν παραλαβεῖν, τοῦ θεοῦ δηλονότι τὰ τῆς
σωτηρίας Ῥωμαίων τῷ γένει διηνεκὲς πρυτανεύοντος.
12 Πρὸς ἐπὶ τούτοις δὲ καὶ τὴν Ἱεράπολιν, ἥπερ ἁπασῶν
πρώτη τῶν τῇδε πόλεων τυγχάνει οὖσα, λαβὼν ἀποκει-
μένην τοῖς ἐπιβουλεύειν ἐθέλουσι, προμηθεῖ διεσώσατο
13 γνώμῃ. χώραν τε γὰρ ἔρημον τὰ πρότερα περιβεβλη-
μένην πολλὴν καὶ διὰ τοῦτο ἀφύλακτον οὖσαν, τῶν μὲν
ἀνονήτων αὐτὴν περιόδων ἀπήλλαξεν, ἐπιτομώτερον δὲ
σὺν τῷ ἀσφαλεῖ καταστησάμενος τὸν περίβολον, ἔς τε
τὸ τῆς χρείας ἀναγκαῖον ξυναγαγὼν ἐχυρωτάτην τανῦν
14 ἐν τοῖς μάλιστα διεπράξατο τὴν πόλιν εἶναι. οὗ δὴ καὶ
τόδε ἀγαθὸν εἴργασται. πότιμον ὕδωρ ἐκ μυχῶν τῆς γῆς

1—2 πὴ — πὴ Dind.] πῆ — πῆ V. 11 φρουρῶν scripsi] φρουρὸν V. 18 ἐπὶ V] om. A. Ἱεράπολιν Dind.] ἱερὰν πόλιν codd. 19—20 ἀποκειμένην A] ἀπῳκισμένην V. 22 τῶν V] τῶ A. 23 ἀπήλλαξεν V] ἀπαλλάξας A. δὲ V] τε A. 24 ξὺν A. καταστησάμενος V] κατασκευάσας A.

ἄνεισιν ἐν μέσῃ πόλει διηνεκῶς, λίμνην τέ τινα ἐνταῦθα P 46
εὐρεῖαν ποιεῖται. τοῦτο πολεμίων μέν, ἂν οὕτω τύχοι, 15
προσεδρευόντων γίνεται τῇ πόλει σωτήριον, ἐν δὲ ἀγα-
θοῖς πράγμασιν οὐκ ἀναγκαῖον αὐτῇ ξυμβαίνει εἶναι,
ἔξωθεν εἰσαγομένων ὑδάτων πολλῶν· προϊόντος δὲ τοῦ 16
χρόνου εἰρήνῃ μακρᾷ συμβεβιωκότες οἱ τῇδε ᾠκημένοι,
ἀνάγκης δὲ οὐδεμιᾶς ἐς πεῖραν ἐλθόντες, ἐν ὀλιγωρίᾳ
τοῦτο πεποίηνται. οὐ γὰρ οἶδεν ἀνθρώπου φύσις ὑπὲρ B 237
τῶν παρόντων κακῶν ἐν εὐδαιμονίᾳ βουλεύεσθαι. ῥύπου 17
τοίνυν τὴν λίμνην ἐνδελεχέστατα ἐνεπλήσαντο, νηχόμε-
νοί τε καὶ πλυνοὺς ἐνταῦθα ποιούμενοι καὶ ἀπορρι-
πτοῦντες φορτοὺς ἅπαντας * * *
Ἔκειτο δὲ καὶ ἄλλα ἄττα ἐν ταύτῃ δὴ τῇ Εὐφρατησίᾳ 18
χωρία, Ζεῦγμά τε καὶ Νεοκαισάρεια, ἃ δὴ πολίχναι μὲν
ἄχρι ἐς τὸ ὄνομα ἦσαν, τείχεσι δὲ περιεβέβληντο αἱμα-
σιᾶς τρόπον. [ᾧ] τῷ μὲν γὰρ τῆς οἰκοδομίας κολοβῷ 19
ἐσβατὰ πόνῳ ⟨οὐδενὶ⟩ τοῖς πολεμίοις ἐγίνετο, ἀδεέστε-
ρον ἐς αὐτὰ ἐσπηδᾶν ἔχουσι, τῷ δὲ στενῷ λίαν ἀφύλακτα,
οὐκ ἐχόντων τὸ παράπαν τῶν ἐνταῦθα φρουρῶν ὅποι
ἂν ἑστῶτες ἀμύνοιντο. ἀλλὰ καὶ ταῦτα Ἰουστινιανὸς 20
βασιλεὺς τείχεσιν ἀληθέσι περιβαλὼν εὔρους τε καὶ ὕψους
ἱκανῶς ἔχουσι, καὶ τῇ ἄλλῃ κατασκευῇ κρατυνάμενος, πό-
λεις τε διεπράξατο καλεῖσθαι δικαίως καὶ κρείσσους εἶναι
τῆς τῶν πολεμίων ἐπιβουλῆς.
ι'. Ἀλλὰ καὶ τῶν πόλεων τὰς Χοσρόῃ ἁλούσας (ἡνίκα
ὁ βάρβαρος οὗτος ἀλογήσας τὰ παρ' αὐτοῦ ὀμωμοσμένα
ἐν ταῖς ἀπεράντοις σπονδαῖς καὶ τὰ διδόμενά οἱ ἐπ' αὐταῖς

27 cf. I 142, 12.

4 αὐτῇ Maltr.] αὐτῷ V. 12 In V lacuna indicata non est. 13 ἄλλα ἄττα V, ἀλλάττα A. 14 ἃ codd.] αἳ Maltr. 16 ᾧ V] delevit Maltr. 17 ⟨οὐδενὶ⟩ Hoesch. in marg.] om. V.

χρήματα, καὶ βασκανίᾳ μὲν ἐς Ἰουστινιανὸν βασιλέα ἐχό-
μενος, οἷς δὴ Λιβύης τε καὶ Ἰταλίας τῷ πολέμῳ κύριος
γέγονε, καὶ τὴν ἐς τὰ ὀμωμοσμένα πίστιν περὶ ἐλάσσο-
νος τῆς ἐς ταῦτα λύσσης πεποιημένος. καιροφυλακήσας
δὲ ἀπολελειμμένον ἐν τῇ ἑσπερίᾳ ἐκ τοῦ ἐπὶ πλεῖστον
τὸν Ῥωμαίων στρατὸν αὐτάγγελος ἐσβέβληκεν ἐς Ῥωμαίων
τὴν γῆν, ἀνηκόων ἔτι Ῥωμαίων ὄντων τῆς τῶν πολεμίων
B 238 ἐφόδου) ἐς τοῦτο δὴ μετεστήσατο βασιλεὺς Ἰουστινιανὸς
ἀσφαλείας καὶ κόσμου ὥστε ἁπάσας εὐδαιμονεστέρας κατὰ
πολὺ τανῦν ἢ πρότερον εἶναι, καὶ μηκέτι περὶ τὰς τῶν
κακουργησόντων βαρβάρων ἐφόδους περιδεεῖς εἶναι, μηδέ
τινι μηχανῇ πρὸς τὰς ἐπιβουλὰς ὑπόπτως ἔχειν.
2 Μάλιστα δὲ ἁπασῶν Ἀντιόχειαν, ἣ νῦν Θεούπολις ἐπι-
P 47 κέκληται, κόσμου τε καὶ ὀχυρώματος ἐνεπλήσατο πολλῷ
3 μείζονος ἢ πρότερον εἶναι ξυνέβαινεν. ἦν μὲν γὰρ αὐτῆς
τὸ παλαιὸν ὁ περίβολος μακρός τε ὑπεράγαν καὶ περιό-
δων πολλῶν ἀτεχνῶς ἔμπλεως, πῆ μὲν τὰ πεδία περιβάλ-
λων οὐδενὶ λόγῳ, πῆ δὲ τὰς τῶν σκοπέλων ὑπερβολάς,
4 καὶ ἀπ᾽ αὐτοῦ πλείοσιν ἐπιβουλαῖς ὑποκείμενος. συστεί-
λας δὲ αὐτὸν Ἰουστινιανὸς βασιλεὺς κατὰ τὸ χρείᾳ ξυν-
οῖσον, οὐ ταῦτα φρουρεῖν, ἅπερ καὶ πρότερον, ἀλλὰ τὴν
5 πόλιν ἐς τὸ ἀκριβὲς πεποίηκε μόνην. τὰ μὲν γὰρ κάτω
τοῦ περιβόλου, ἔνθα ἡ πόλις ἐπικινδύνως εὐρύνετο, ἐν
μαλακῷ τε πεδίῳ κειμένη καὶ περιουσίᾳ τειχίσματος ἀφύ-
λακτος οὖσα, μεταβιβάζει ὡς ἐνδοτάτω, ἐπικαιριώτατα
στενοχωρήσας ἐνταῦθα τὴν πόλιν, περιστελλομένην τῷ

5—6 ἀπολελειμμένον — τὸν ῥωμαίων στρατὸν A] ἀπολελειμμένου — τοῦ ῥωμαίων στρατοῦ V. 6 ἐσβέβληκεν scripsi] βέβληκεν V] πρὸς A. 9—10 κατὰ πολὺ εὐδαιμονεστέρας A. 10 περὶ Dind.] πῆ — πῆ V. 15 μείζονος A] μεῖζον V. 17—18 πῆ — πῆ

πεπιέσθαι. ποταμὸν δὲ Ὀρόντην, ὅσπερ αὐτὴν παρέρ- 6
ρει ἐν περιόδοις τὰ πρότερα οὖσαν, διωθήσατο μεταπο-
ρευθέντα τὸ ῥεῖθρον τῷ περιβόλῳ γειτονεῖν. αὖθις ὀχε- 7
ταγωγίᾳ τὸν ῥοῦν ὡς ἀγχοτάτω περιελίξας, ταύτῃ τε καὶ
τὸ σφαλερὸν τῆς ἀμετρίας ἀνῆκε τῇ πόλει καὶ τὴν ἐκ
τοῦ Ὀρόντου ἀσφάλειαν ἀνεσώσατο. ἐνταῦθά τε νεοχμώ- 8
σας γεφύρας ἑτέρας ζεύγματα τῷ ποταμῷ νέα ἐντέθεικε,
περιαγαγὼν δὲ ὡς πορρωτάτω τῆς χρείας αὐτόν, εἶτα τὴν
προτέραν ἀπέδωκε πορείαν τῷ ῥεῖθρῳ. τὰ μέντοι ἄνω 9 B 239
ἐς τὸ κρημνῶδες αὐτῷ κατὰ τάδε διαπεπόνηται. ἐν τῇ τοῦ
ὄρους ὑπερβολῇ, ἥνπερ Ὀροκασσιάδα καλοῦσι, πέτρα τις
τοῦ τείχους ἐκτὸς ὡς ἀγχοτάτω ἐτύγχανεν οὖσα, ἐξ ἀν-
τιπάλου τε τοῦ περιβόλου ἐνταῦθα κειμένη καὶ λίαν ἐπι-
μαχώτατον αὐτὸν τιθεμένη. Χοσρόῃ ἀμέλει ἐνθένδε ἡ 10
πόλις ἑάλω, ἧπέρ μοι ἐν λόγοις τοῖς ἐπιτηδείοις ἐρρήθη.
τὰ δὲ τοῦ περιβόλου ἐντὸς ἔρημός τε χώρα ἐπὶ πλεῖστον
καὶ δύσοδος ἦν. πέτραι γὰρ ὑψηλαὶ καὶ χαράδραι ἀνέκ- 11
βατοι διακεκλήρωνται τὸν χῶρον ἐκεῖνον, ἀδιεξόδους τὰς
ἐνθένδε ποιούμεναι τρίβους, ὥσπερ ἀλλοτρίου ἐνταῦθά
τινος, ἀλλ᾽ οὐ τῶν Ἀντιοχέων τοῦ τείχους ὄντος. χαίρειν 12
τοίνυν πολλὰ τῇ πέτρᾳ φράσας, ἥπερ ἐν γειτόνων τῷ
τείχει οὖσα εὐάλωτον αὐτὸ διαφανῶς ἐσκαιώρητο, ὡς πορ-
ρωτάτω αὐτῆς περιβάλλειν τὴν πόλιν ἔγνω, ἀβουλίας πέρι
τῶν πρότερον αὐτὴν δειμαμένων ἀπὸ τῶν πραγμάτων
τῆς πείρας πεποιημένος τὴν μάθησιν. χώραν τε ὁμαλὴν 13
μάλιστα τοῦ τείχους ἐντὸς τὴν τὰ πρότερα κρημνώδη

15 cf. I 185, 12.

1 ὀρρόντ- hic et infra A. 1—2 παρέρρει A] παραρρέει V. 3 τὸ ῥεῖθρον V] τῷ ῥείθρῳ A. 4 ἀγχωτάτω A. περιελείξας A. 11 et p. 78, 11 ὀροκασσιάδα V] Ὀροκασιάδα I 175, 3. 20 ἀλλ᾽ οὐ scripsi] ἄλλου V et edd. 21 φράσας τῇ πέτρᾳ A ἐγγειτόνων V.

οὖσαν ἀπεργασάμενος, ἀνόδους ταύτῃ πεποίηται οὐχ ὅσον ἀνδράσι πεζοῖς, ἀλλὰ δὴ καὶ ἱππεῦσι βασίμους, ἔτι μέν-
14 τοι καὶ ἁμαξηλάτους τὸ λοιπὸν οὔσας. ἀλλὰ καὶ βαλανεῖα καὶ ὑδάτων ταμιεῖα ἐν τοῖς ὄρεσι πεποίηται τούτοις τοῦ τείχους ἐντός. φρέαρ τε ὤρυξεν ἐν πύργῳ ἑκάστῳ, τὴν πρότερον ἀνυδρίαν ἐνταῦθα οὖσαν ὕδασιν ὑετίοις ἰώμενος.

15 Ὅσα δὲ καὶ ἀμφὶ τῷ χειμάρρῳ πεποίηται, ὃς ἐκ τού-
48 των δὴ τῶν ὀρέων κάτεισιν, εἰπεῖν ἄξιον. ὄρη μὲν ἀπότομα δύο τῇ πόλει ἐπῄρται, ἀλλήλοιν ξυνιόντα ὡς ἀγχο-
16 τάτω. τούτων θάτερον μὲν Ὀροκασσιάδα καλοῦσι, τὸ δὲ
240 δὴ ἕτερον Σταυρὶν κέκληται. ἀπολήγοντα δέ πη αὐτὰ
16 νάπη τις ξεύγνυσι καὶ χαράδρα μεταξὺ οὖσα, χειμάρρουν ἀποτελοῦσα, ἐπειδὰν ὕοι, Ὀνοπνίκτην ὄνομα, ὃς δὴ ἐξ ὑπερδεξίων κατιὼν ὕπερθέν τε τοῦ περιβόλου φερόμενος ἐπὶ μέγα τε, ἂν οὕτω τύχῃ, ἐξανιστάμενος, διεσκεδάννυτο μὲν ἐς τοὺς τῆς πόλεως στενωπούς, ἀνήκεστα
17 δὲ κακὰ τοὺς ταύτῃ ᾠκημένους εἰργάζετο. ἀλλὰ καὶ τούτου τὴν ἄκεσιν Ἰουστινιανὸς βασιλεὺς εὕρατο τρόπῳ τοιῷδε. πρὸ τοῦ περιβόλου, ὅνπερ ἄγχιστα τῆς χαράδρας ξυμβαίνει εἶναι, ἐξ ἧς ὁ χειμάρρους ἐπὶ τὸ τείχισμα ἵετο, τοῖχον ἐδείματο ὑπερμεγέθη, ἐκ κοίλης χαράδρας διήκοντα ἐς ἑκάτερον τοῖν ὀροῖν μάλιστα, ὡς μηκέτι περαιτέρω ἰέναι κυματοῦντι τῷ ποταμῷ δυνατὰ εἴη, ἀλλ'
18 ἐπὶ μακρότερον ξυνιστάμενος ἐνταῦθα λιμνάζοι. ἐν δὲ τῷ τοίχῳ θυρίδας ποιησάμενος ἐνθένδε ἀπορρέοντα ὑπολήγειν κατὰ βραχὺ ἀνάγκῃ χειροποιήτῳ τὸν χειμάρρουν διεσκευάσατο, οὐκέτι λάβρως τῷ παντὶ ῥεύματι τῷ περιβόλῳ προσβάλλοντα, καὶ διὰ τοῦτο ὑπερβλύζοντά τε καὶ

2 δὴ V] om. A. 11 τούτων] malim τούτοιν. 18 χειμάρρουν Dind.] χείμαρον V.

τὴν πόλιν κατεργαζόμενον, ἀλλὰ πρᾴως τε καὶ προσηνῶς ὑπορρέοντα, ἧπέρ μοι εἴρηται, ταύτῃ τε τῇ ἐκροῇ διὰ τῆς ὀχεταγωγίας ἰόντα ὅποι ἂν αὐτὸν βουλομένοις ᾖ περιάγειν οὕτω μέτριον γεγενημένον τοῖς πάλαι ἀνθρώποις.

Τὰ μὲν οὖν ἀμφὶ τῷ Ἀντιοχείας περιβόλῳ τῇδε Ἰου- 19
στινιανῷ βασιλεῖ εἴργασται. καὶ ξύμπασαν δὲ πρὸς τῶν πολεμίων καταφλεχθεῖσαν ἀνῳκοδομήσατο τὴν πόλιν αὐτός. τετεφρωμένων γὰρ πανταχόσε καὶ καθῃρημένων 20
ἁπάντων, λόφων τε μόνον ἐκ πόλεως ἐξηνθρακωμένης ἐπανεστηκότων πολλῶν, ἄπορον τοῖς Ἀντιοχεῦσιν ἐγίνετο τήν τε χώραν ἐπιγνῶναι τῆς ἑκάστου ἰδίας ⟨οἰκίας⟩ γενομένης τὰ πρῶτα ἐκφορήσασι τὸ συμπτωθὲν ἅπαν, οἰκίας τε πυρκαϊᾶς περικαθῆραι τὰ λείψανα, ἔτι μέντοι δημο- B 241
σίων στοῶν ἢ περιστύλων αὐλῶν οὐδαμῆ οὐσῶν, οὐδὲ ἀγορᾶς πη καθισταμένης, οὐδὲ τῶν στενωπῶν τὰς ἀγυιὰς διαιρούντων τῇ πόλει, οἰκίας τινὸς οἰκοδομίαν ἀπαυθαδιάσασθαι. ἀλλὰ βασιλεὺς οὐδεμιᾷ μελλήσει ὡς ἀπωτάτω 21
τῆς πόλεως τὰ καθῃρημένα μετενεγκών, ἐλεύθερόν τε τὸν ταύτῃ ἀέρα ξὺν τοῖς ἔνερθεν τῶν ἐνοχλούντων καταστησάμενος, πρῶτα μὲν τὰ ἐδάφη πανταχόθι τῆς πόλεως λίθοις ἁμαξιαίοις ἐκάλυψεν· ἔπειτα δὲ στοαῖς τε καὶ ἀγοραῖς αὐτὴν 22
διακρίνας, καὶ διελὼν μὲν τοῖς στενωποῖς ἀμφόδους ἁπάσας, ὀχετοὺς δὲ καὶ κρήνας καὶ ὑδροχόας καταστησάμενος, ὅσοις ἡ πόλις κεκόμψευται, θέατρά τε αὐτῇ καὶ βαλανεῖα

24 Mal. 423, 4.

3 ἐκροῇ V pr. m.] ἐκρροῇ V corr. 11 ⟨οἰκίας⟩ addidi. 12 πρῶτα ἐκφορήσασι scripsi] πρῶτα. ἐκφορήσας οὖν codd. et edd. 15 ἀγυιὰς Hoesch.] ἀγυὰς V. 16—17 ἀπαυθαδιάσασθαι Hoesch.] ἀπαυθαδίσασθαι V. 17 ἀπωτάτω Hoesch.] ἀποτάτω V. 20 πρῶτα — ἐδάφη] πρῶτα μὲν γὰρ ἐξηνθρακωμένην καὶ τετεφρωμένην ἅπασαν καθήρας ἐλεύθερον τὸν ταύτῃ ἀέρα παρεσκευάσατο, ἔπειτα τὰ ἐδάφη A, ea verba addito πανταχόθι in V in marg. pr. m. notantur. 22 ἀμφόδους] μ erasum est in V. 23 ὑδροχοὰς V.

πεποιημένος, καὶ ταῖς ἄλλαις δημοσίαις οἰκοδομίαις ἁπά-
σαις κοσμήσας, αἷσπερ εὐδαιμονία διαφαίνεσθαι πόλεως
εἴωθε, τεχνιτῶν δὲ καὶ ἐπιδημιούργων πλῆθος ἐπαγα-
P 49 γὼν ῥᾷόν τε καὶ ἀπονώτερον τοῖς ἐνοικοῦσι παρέσχετο
23 δείμασθαι τὰς αὐτῶν ἰδίας οἰκίας. οὕτω τε Ἀντιόχειαν
ἐπιφανεστέραν γεγονέναι τανῦν ἢ πρότερον ἦν ξυνηνέ-
24 χθη. ἀλλὰ καὶ ἱερὸν ἐνταῦθα τῇ θεοτόκῳ πεποίηται μέγα.
οὗ δὴ τό τε κάλλος καὶ τὸ ἐς ἅπαντα μεγαλοπρεπὲς ἐπελ-
θεῖν λόγῳ ἀμήχανον· ὃ δὴ καὶ προσόδῳ ἐτίμησε χρημά-
25 των μεγάλων. ἔτι μέντοι καὶ Μιχαὴλ τῷ ἀρχαγγέλῳ νεὼν
παμμεγέθη ἐδείματο. προὐνόησε δὲ καὶ τῶν ἀρρωστή-
μασι πονουμένων ἐνταῦθα πτωχῶν, οἰκία τε σφίσι καὶ
τὰ ἐς τὴν ἐπιμέλειαν καὶ τῶν νοσημάτων ἀπαλλαγὴν ἐν
B 242 ἐπιτηδείῳ καταστησάμενος ἅπαντα, χωρὶς μὲν ἀνδράσι,
χωρὶς δὲ γυναιξί, καὶ οὐδέν τι ἧσσον τοῖς ξένοις ἐπὶ και-
ροῦ γενομένοις ἐνταῦθα ἐνδήμοις.

ια'. Οὕτω δὲ καὶ Χαλκίδος πόλεως τὸν περίβολον, ἐπι-
σφαλῶς τε ἀρχὴν γεγονότα καὶ ὑπὸ τῶν ἐτῶν κατερρα-
κωμένον, σὺν τῷ προτειχίσματι ἀνανεωσάμενός τε καὶ
πολλῷ ἐχυρώτερον καταστησάμενος ἢ πρότερον ἦν, ἐς τὸν
νῦν φαινόμενον πεποίηται τρόπον.

2 Ἦν δέ τι ἐπὶ Συρίας κομιδῇ ἀπημελημένον πολίχνιον,
Κῦρος ὄνομα, ὅπερ Ἰουδαῖοι ἐν τοῖς ἄνω χρόνοις ἐδεί-
μαντο, δορυάλωτοι μὲν ἐκ Παλαιστίνης ἐς τὴν Ἀσσυρίαν
ἀποκεκομισμένοι πρὸς τοῦ Μήδων στρατοῦ, παρὰ Κύρου
δὲ βασιλέως ἀφειμένοι πολλῷ ὕστερον· διὸ δὴ καὶ Κῦρον
τὸ χωρίον ἐκάλεσαν, ταῦτα τῷ εὐεργέτῃ ἐκτίνοντες χαρι-

10 Mal. 428, 7. 22 cf. Ptol. V 15, 18.

6 ἦν V] om. A. 19 προτειχίσματι V] τειχίσματι A. 22 τι V] om. A. 26 πρὸς V] παρὰ A. 27 ἐκάλεσαν V] ὠνόμασαν A.

στήρια. προϊόντος δὲ τοῦ χρόνου ἡ Κῦρος τά τε ἄλλα 3
ὑπερώφθη καὶ ἀτείχιστος ὅλως μεμένηκεν. ἀλλὰ βασι- 4
λεὺς Ἰουστινιανὸς ἅμα μὲν πρόνοιαν τῆς πολιτείας ποιού-
μενος, ἅμα δὲ καὶ τοὺς ἁγίους Κοσμᾶν τε καὶ Δαμιανὸν
τὰ μάλιστα σέβων, ὧν δὴ ἄγχιστά πῃ τὰ σώματα καὶ ἐς
ἐμὲ κεῖται, πόλιν εὐδαίμονα καὶ λόγου ἀξίαν πολλοῦ,
τείχους τε ἀσφαλείᾳ ἐχυρωτάτου καὶ φρουρῶν πλήθει
καὶ οἰκοδομιῶν δημοσίων μεγέθει, καὶ τῆς ἄλλης κατα-
σκευῆς τῷ ἐς ἄγαν μεγαλοπρεπεῖ, πεποίηται Κῦρον.
ταύτης δὲ τῆς πόλεως τὰ μὲν ἐντὸς ὕδατος ἄπορα ἐκ πα- 5
λαιοῦ ἦν, ἔκτοσθε δὲ ὑπερφυής τις ἐγεγόνει πηγή, περιου-
σίᾳ μὲν πλήθουσα ποτίμων ὑδάτων, ἀνόνητος δὲ τοῖς
τῇδε ᾠκημένοις παντάπασιν οὖσα, ἐπεὶ οὐκ εἶχον ὅθεν
ἂν ἐνθένδε ἀρύοιντο ὕδωρ, ὅτι μὴ πόνῳ τε καὶ κινδύνῳ
μεγάλῳ. περιόδοις τε γὰρ αὐτόσε ἰοῦσιν ἀναγκαῖον ἐγί- 6 B 243
νετο χρῆσθαι, κρημνώδους χωρίου καὶ ὅλως ἀβάτου με-
ταξὺ ὄντος· καὶ τοῖς πολεμίοις, ἂν οὕτω τύχῃ, ἐνεδρεύου- P 50
σιν ὑποχείριοι ῥᾷστα ἐγίγνοντο. διώρυχα τοίνυν ἔκτοσθε 7
τῆς πόλεως ἄχρι ἐς τὴν κρήνην οὐκ ἀπαρακαλύπτως, ἀλλὰ
κεκρυμμένως ὡς ἔνι μάλιστα πεποιημένος, ἄπονόν τε αὐτοῖς
καὶ ἀκίνδυνον τὴν τοῦ ὕδατος παρέσχετο χρείαν.

Καὶ Χαλκίδος δὲ πόλεως τὸν περίβολον ὅλον, ἔς τε τὸ 8
ἔδαφος καθειμένον καὶ ἄλλως ἀφύλακτον ὄντα, ἐχυρᾷ
διαφερόντως ἀνενεώσατο οἰκοδομίᾳ, καὶ προτειχίσματι
ἐκρατύνατο. ἔτι μέντοι καὶ τὰ ἄλλα Σύρων πολίσματά 9
τε καὶ φρούρια τὸν αὐτὸν κεκοσμηκὼς τρόπον ζηλωτὰ
ἐπιεικῶς κατεστήσατο.

Οὕτω μὲν Συρίαν Ἰουστινιανὸς βασιλεὺς ἐν τῷ ἀσφα- 10
λεῖ διεσώσατο. πόλις δέ πού ἐστιν ἐπὶ Φοινίκης τῆς παρὰ

14 ἀρύοιντο Hoesch.] ἀρρύοιντο V. 22—25 Καὶ — ἐκρατύνατο] delenda sunt, cf. p. 80, 17—21.

Λίβανον, Παλμύρα ὄνομα, ἐν χώρῳ μὲν πεποιημένη τοῖς
πάλαι ἀνθρώποις ἀγείτονι, ἐν καλῷ δὲ τῆς τῶν πολεμίων
11 Σαρακηνῶν διόδου κειμένη. τούτου γὰρ δὴ αὐτὴν ἕνεκα
καὶ ᾠκοδομήσαντο πρότερον, ὡς μὴ λάθοιεν οἱ βάρβαροι
12 οὗτοι ἐξάπινα ἐς τὰ Ῥωμαίων ἤθη ἐμβάλλοντες. ταύτην
βασιλεὺς Ἰουστινιανὸς διὰ χρόνου μῆκος ἔρημον ἐπὶ πλεῖ-
στον γεγενημένην ὀχυρώμασί τε λόγου μείζοσιν ἐπιρρώ-
σας, πρὸς δὲ καὶ ὑδάτων περιουσίας καὶ φυλακτηρίου
στρατιωτῶν ἐμπλησάμενος, τὰς τῶν Σαρακηνῶν ἐπιδρο-
μὰς ἀνεχαίτισεν.

B 244

ΛΟΓΟΣ Γ΄.

P 51 Χώραν μὲν τὴν ἑῴαν οὕτως Ἰουστινιανὸς βασιλεὺς
ὀχυρώμασιν ἐκρατύνατο, ᾗπέρ μοι ἐν τῷ ἔμπροσθεν λόγῳ
P 52 ἐρρήθη. ἀρξαμένῳ δέ μοι ἐκ τῶν παρὰ Πέρσας ὁρίων
τῆς Ῥωμαίων ἀρχῆς περιηγεῖσθαι τὰ πρὸς αὐτοῦ ἐρύματα
γεγενημένα, οὗ μοι ἀπὸ καιροῦ ἔδοξεν εἶναι ἐπὶ τοὺς
Ἀρμενίους ἐνθένδε ἰέναι, οἳ δὴ ἐκ πόλεως Ἀμίδης ἄχρι
ἐς Θεοδοσιούπολιν τὴν ἑτέραν προσοικοῦσι Πέρσαις.
2 μέλλοντι δέ μοι τῶν ἐκείνῃ οἰκοδομημάτων ἐπιμνησθῆ-
ναι προυργιαίτατον φαίνεται εἶναι ὑπειπεῖν πρότερον
ὅντινα δὴ τρόπον σφαλερῶς ἄγαν βιοτεύοντας τοὺς Ἀρ-
μενίους ὁ βασιλεὺς οὗτος ἐς τὴν παροῦσαν ἀσφάλειαν
3 βεβαιότατα μεθηρμόσατο. οὐ γὰρ δὴ ὅσον οἰκοδομίαις
τούτους τοὺς κατηκόους ἐσώσατο, ἀλλὰ καὶ τῇ ἄλλῃ προ-
νοίᾳ, ᾗπέρ μοι αὐτίκα μάλα γεγράψεται. ἀρκτέον δὲ μι-
κρὸν ἄνωθεν.
4 B 245 Βασιλεὺς μὲν ὁμογενὴς πάλαι τοῖς Ἀρμενίοις καθί-
στατο, ᾗπερ τοῖς ἀναγραψαμένοις τῶν ἱστοριῶν τὰ ἀρ-

1 Mal. 426, 2.

11 μὲν A] μέντοι V. 22 βεβαιότατα Hoesch.] βεβαιώτατα V.

χαιότατα δεδιήγηται. ἐπειδὴ δὲ Ἀλέξανδρος ὁ Μακεδὼν 5
τὸν Περσῶν βασιλέα καθεῖλε, Πέρσαι μὲν δεδουλωμένοι
ἡσυχῇ ἔμενον, Πάρθοι δὲ Μακεδόσιν ἐπαναστάντες καὶ
τῷ πολέμῳ περιγενόμενοι ἐξήλασάν τε αὐτοὺς ἐνθένδε
καὶ τὰ μέχρι ἐς Τίγριν ποταμὸν ἔσχον, ὑπ' αὐτοῖς τε
τὸ λοιπὸν ἐς ἔτη πεντακόσια ἔκειτο τὰ Περσῶν πράγματα,
ἕως Ῥωμαίοις ὁ Μαμαίας Ἀλέξανδρος βασιλεὺς γέγονε.
καί ποτέ τις τῶν ἐν Πάρθοις βασιλέων τὸν ἀδελφὸν τὸν 6
αὐτοῦ Ἀρμενίοις βασιλέα κατεστήσατο, Ἀρσάκην ὄνομα,
ὥσπερ ἡ τῶν Ἀρμενίων ἱστορία φησί. μὴ γάρ τις Ἀρ-
μενίους τοὺς Ἀρσακίδας οἰέσθω εἶναι. εἰρήνη γοῦν 7
αὐτοῖς ἐς ἔτη τὰ πεντακόσια κατὰ τὸ ξυγγενὲς δια-
γέγονε. καὶ ὁ μὲν τῶν Ἀρμενίων βασιλεὺς ἐν Ἀρμενίᾳ 8
τῇ μεγάλῃ καλουμένῃ καθῆστο, τῷ Ῥωμαίων αὐτοκράτορι
ἐκ παλαιοῦ ὑποχείριος ὤν, χρόνῳ δὲ ὕστερον παῖδες ἐγέ-
νοντο Ἀρσάκῃ τινὶ Ἀρμενίων βασιλεῖ δύο, Τιγράνης τε
καὶ Ἀρσάκης ὀνόματα. ὅσπερ, ἐπεὶ ἔμελλε τὸν βίον δια- 9
μετρήσασθαι, διαθήκας τιθείς, ἄμφω τὼ παῖδε ποιεῖται
διαδόχους αὐτῷ τῆς ἀρχῆς, οὐκ ἰσοστάσιον διορίσας ἑκα-
τέρῳ τὸ κράτος, ἀλλὰ τῷ Τιγράνῃ τετραπλασίαν ἀπο-
λιπὼν μοῖραν. Ἀρσάκης μὲν οὖν ὁ πατὴρ οὕτω τὴν βα- 10
σιλείαν διοικησάμενος ἐξ ἀνθρώπων ἠφάνιστο, Ἀρσάκης
δὲ ὁ παῖς, ἐφ' οἷς δὴ αὐτῷ ἐλασσοῦσθαι ξυνέβη ἀγανα-
κτῶν τε καὶ δυσφορούμενος ἐπὶ τὸν Ῥωμαίων αὐτοκρά-
τορα τὸ πρᾶγμα ἦγε, τοῦ τε ἀδελφοῦ καταλῦσαι τὴν βα-
σιλείαν μηχανῇ πάσῃ ἐλπίδα ἔχων καὶ ἄδικον οὖσαν τὴν B 246
πατρὸς γνώμην ἀβέβαιον καταστήσεσθαι. Θεοδόσιος δὲ 11

5 ἔσχον V] κατέσχον A. 7 μαμαίας V] μαμέας A. 8—9 τὸν αὐτοῦ Dind.] τοῦ αὐτοῦ V, αὐτοῦ A. 18 τὼ V] om. A. 18 ἄμφω A] ἄμφω μὲν V. 19 αὐτῷ codd. 20 τῷ V] om. A. 20—21 τετραπλασίονα μοῖραν ἀπολιπὼν A. 21 οὖν V] om. A.

τότε Ἀρκαδίου υἱὸς ἔτι παῖς ὢν κομιδῇ Ῥωμαίων ἦρχε.
τίσιν τε δειμαίνων τὴν ἐκ βασιλέως Τιγράνης Πέρσαις
αὐτὸν ἐνεχείρισε, τὴν βασιλείαν παραδιδούς, περὶ πλεί-
ονός τε πεποιημένος ἰδιώτης ἐν Πέρσαις εἶναι ἢ πρὸς
τὸν ἀδελφὸν τὰ δίκαια θέσθαι, καὶ συμβασιλεύειν Ἀρμε-
12 P 53 νίων αὐτῷ ὀρθῶς καὶ δικαίως. καὶ Ἀρσάκης δὲ οὐδέν τι ἧσ-
σον τὴν ἐκ Περσῶν τε καὶ τ' ἀδελφοῦ ἐπιβουλὴν δείσας
ἐξέστη τῆς βασιλείας τῆς αὐτοῦ Θεοδοσίῳ τῷ αὐτοκρά-
τορι ἐπὶ ξυνθήκαις τισίν, αἵ μοι ἐν τοῖς ὑπὲρ τῶν πολέ-
13 μων δεδήλωνται λόγοις. καὶ χρόνον μέν τινα περιμά-
χητος Ῥωμαίοις τε καὶ Πέρσαις ἡ τῶν Ἀρμενίων γεγένη-
ται χώρα, ἐν ὑστάτῳ δὲ ξυνέβησαν, Πέρσας μὲν τὴν Τι-
14 γράνου μοῖραν, Ῥωμαίους δὲ τὴν Ἀρσάκου ἔχειν. ἐπὶ τού-
τοις τε σπονδαὶ ἀμφοτέροις ξυνετελέσθησαν, καὶ τὸ λοι-
πὸν ὁ Ῥωμαίων βασιλεὺς ἄρχοντα τοῖς Ἀρμενίοις ἀεὶ
καθίστη ὅντινά ποτε καὶ ὁπηνίκα ἂν αὐτῷ βουλομένῳ
15 εἴη. κόμητά τε Ἀρμενίας ἐκάλουν καὶ εἰς ἐμὲ τὸν ἄρ-
χοντα τοῦτον.

16 Ἀλλ' ἐπεὶ οὐχ οἵα τε ἦν ἡ τοιαύτη ἀρχὴ ἀποκρούεσθαι
τὰς τῶν πολεμίων ἐφόδους, οὐ παρόντων αὐτῇ στρατιω-
τικῶν καταλόγων, κατανενοηκὼς Ἰουστινιανὸς βασιλεὺς
οὕτως ἀτάκτως τὴν Ἀρμενίαν ἀεὶ φερομένην, ταύτῃ τε
τοῖς βαρβάροις εὐάλωτον οὖσαν, ταύτην μὲν τὴν ἀρχὴν
ἐνθένδε καθεῖλε, στρατηγὸν δὲ τοῖς Ἀρμενίοις ἐπέστησε,
στρατιωτικῶν τε καταλόγων αὐτῷ κατεστήσατο πλῆθος
ἀξιόχρεων ταῖς τῶν πολεμίων ἐπιδρομαῖς ἀντιτάξασθαι.
17 τὰ μὲν οὖν ἀμφὶ τῇ μεγάλῃ καλουμένῃ Ἀρμενίᾳ διῳκή-

9 cf. I 159, 7.

2 τιγράνης τὴν ἐκ βασιλέως A. 3 αὐτὸν A. 8 αὐτοῦ Hoesch.] αὐτοῦ V. 12—13 τιγράνου V] τιγράνοι A. 14 τε V] δὲ A. 16 καθίστη A] καθίστα V. 20 αὐτῇ V] αὐτῷ A.

σατο ὧδε, τῇ δὲ ἄλλῃ Ἀρμενίᾳ, ἥπερ ἐντὸς Εὐφράτου
ποταμοῦ οὖσα διήκει ἐς Ἄμιδαν πόλιν, σατράπαι ἐφει- B 247
στήκεισαν Ἀρμένιοι πέντε, καὶ κατὰ γένος μὲν ἐς ἀεὶ
⟨ἐς⟩ τὰς ἀρχὰς ἐκαλοῦντο ταύτας, ἐχόμενοι αὐτῶν ἄχρι
ἐς θάνατον. σύμβολα μέντοι αὐτῶν πρὸς τοῦ Ῥωμαίων 18
βασιλέως ἐδέχοντο μόνον. ἄξιον δὲ τὰ σύμβολα ταῦτα
δηλῶσαι λόγῳ, ἐπεὶ οὐκέτι ἐς ἀνθρώπου ὄψιν ἀφίξεται.
χλαμὺς ἡ ἐξ ἐρίων πεποιημένη, οὐχ οἷα τῶν προβατίων 19
ἐκπέφυκεν, ἀλλ' ἐκ θαλάσσης συνειλεγμένων. πίννους 20
τὰ ζῷα καλεῖν νενομίκασιν, ἐν οἷς ἡ τῶν ἐρίων ἔκφυσις
γίνεται. χρυσῷ δὲ ἡ τῆς πορφύρας κατηλήλειπτο μοῖρα,
ἐφ' ἧς εἴωθεν ἡ τῆς ἁλουργίδος ἐμβολὴ γίνεσθαι. πε- 21
ρόνη χρυσῆ τῇ χλαμύδι ἐπέκειτο, λίθον ἐπὶ μέσης περι-
φράττουσά τινα ἔντιμον, ἀφ' οὗ δὴ ὑάκινθοι τρεῖς χρυ-
σαῖς τε καὶ χαλαραῖς ταῖς ἁλύσεσιν ἀπεκρέμαντο. χιτὼν 22
ἐκ μετάξης ἐγκαλλωπίσμασι χρυσοῖς πανταχόθεν ὡραϊ-
σμένος, ἃ δὴ νενομίκασι πλούμια καλεῖν. ὑποδήματα 23
μέχρι ἐς γόνυ φοινικοῦ χρώματος, ἃ δὴ βασιλέα μόνον
Ῥωμαίων τε καὶ Περσῶν ὑποδεῖσθαι θέμις.

Στρατιώτης δὲ Ῥωμαῖος οὔτε τῷ Ἀρμενίων βασιλεῖ οὔτε 24
σατράπαις ἤμυνε πώποτε, ἀλλὰ τὰ πολέμια κατὰ μόνας
αὐτοὶ διῳκοῦντο. χρόνῳ δὲ ὕστερον ἐπὶ Ζήνωνος βασι- 25
λεύοντος Ἰλλοῦ τε καὶ Λεοντίῳ τετυραννηκόσιν ἐπὶ βασι-
λέα διαφανῶς συντάσσεσθαί τινες τῶν σατραπῶν ἔγνω-
σαν. διὸ δὴ Λεόντιόν τε καὶ Ἰλλοῦν Ζήνων βασιλεὺς 26 P 54

22 Mal. 385, 15 ss. Theoph. I 127, 13. Marcell. Com. ad a. 484. Vict. Tonn. ad a. 483.

4 ⟨ἐς⟩ τὰς Maltr.] τὰς V. 8 προβατίων Maltr.] προβατείων V. 9 πίννους] πίννας ? 11 κατηλήλειπτο l] κατήλειπτο superscr. λη V. 17 πλούμια] πλούμμια codd. 18 ἃ Maltr.] ὃ V. 23 ἰλλοῦ V] Ἴλλῳ Hoesch.

ὑποχειρίους πεποιημένος, σατράπην μὲν ἕνα φαυλοτάτην
ἀρχὴν ἔχοντα καὶ ὡς ἥκιστα λόγου ἀξίαν ἐν χώρᾳ τῇ Βε-
λαβιτίνῃ καλουμένῃ, ἐπὶ τοῦ προτέρου σχήματος εἴασε,
τοὺς δὲ λοιποὺς καθελὼν ἅπαντας οὐκέτι ἐς τοὺς κατὰ
γένος σφίσι προσήκοντας ξυνεχώρησε τὰς ἀρχὰς φέρεσθαι,
B 248 ἀλλ' ἑτέρους ἀεὶ τὴν ἀρχὴν διαδέχεσθαι διώρισε ταύ-
την οὓς ἂν βουλομένῳ βασιλεῖ εἴη, ὥσπερ ἐφ' ἁπάσαις
27 ταῖς ἄλλαις διώρισται Ῥωμαίων ἀρχαῖς. στρατιῶται μέν-
τοι οὐδ' ὣς Ῥωμαῖοι αὐτοῖς εἵποντο, ἀλλὰ τῶν Ἀρμενίων
τινές, ᾗπερ τὰ πρότερα εἴθιστο, καὶ ἀπ' αὐτοῦ πολεμίους
28 προσβάλλοντας ἀποκρούεσθαι ἀδύνατοι ἦσαν. ἃ δὴ κατα-
μαθὼν Ἰουστινιανὸς βασιλεὺς τὸ μὲν τῶν σατραπῶν
ὄνομα ἐξήλασεν ἐνθένδε εὐθύς, δοῦκας δὲ τοὺς καλου-
29 μένους δύο τοῖς ἔθνεσιν ἐπέστησε τούτοις· οἷς δὴ ξυνε-
στήσατο μὲν Ῥωμαίων στρατιωτῶν καταλόγους παμπλη-
θεῖς, ἐφ' ᾧ τὰ Ῥωμαίων ξυμφυλάξουσιν αὐτοῖς ὅρια·
ὀχυρώματα δὲ δεδημιούργηκεν αὐτοῖς κατὰ τάδε.
β'. Ἄρξομαι δὲ ἀπὸ τῶν ἐν Μεσοποταμίᾳ χωρίων, ὅπως
δὴ ὁ λόγος τοῖς ἔμπροσθέν μοι δεδιηγημένοις προσεχῶς
ἄγοιτο. τὸν μὲν οὖν ἕνα, τὸν ἐν τοῖς Ἀρμενίων ἔθνεσιν
ἄρχοντα, ὃν δοῦκα καλοῦσιν, ἐν πόλει Μαρτυροπόλει κα-
λουμένῃ ἱδρύσατο, τὸν δὲ δὴ ἕτερον ἐν φρουρίῳ, ὅπερ
2 Κιθαρίζων καλοῦσιν. ὅπη ποτὲ δὲ τῆς Ῥωμαίων ἀρχῆς
τὰ χωρία τάδε ξυμβαίνει εἶναι, ἐγὼ δηλώσω. ἐν Ἀρμενίᾳ
τῇ Σοφανηνῇ καλουμένῃ πόλις ἐστί που Μαρτυρόπολις
ὄνομα παρ' αὐτὸν ποταμὸν Νυμφίον κειμένη καὶ τοῖς
πολεμίοις ὡς ἀγχοτάτω πρόσοικος οὖσα, ἐπεὶ ὁ Νυμφίος
ποταμὸς διορίζει ἐνταῦθα τὰ Ῥωμαίων τε καὶ Περσῶν

2—3 βελαβιτίνη V] Βαλαβιτηνὴ Nov. 31, 3. 19 δεδιηγημέ-
νοις Hoesch.] δεδιηγιμένοις V. 23 Κιθαρίζων] sic scribunt
Proc. I 262, 11. Theophyl. Sim. III 15, 12, Κιθαριζὸν Nov. 31.
31, 1. 25 σοφανήνη codd.

ἤθη. ἐπὶ θάτερα γὰρ τοῦ ποταμοῦ Ἀρξανηνὴ ἡ χώρα 3
οἰκεῖται Περσῶν κατήκοος ἐκ παλαιοῦ οὖσα. ἀλλὰ καὶ
ὡς ἡ πόλις ἀπημελημένη Ῥωμαίοις τούτοις δὴ ἀεὶ τοῖς
βαρβάροις ἀπέκειτο. ὥστε ἀμέλει Καβάδης ὁ Περσῶν 4
βασιλεὺς ἐπὶ Ἀναστασίου βασιλεύοντος ἐσέβαλε Ῥωμαίων
τὴν γῆν, διὰ Μαρτυροπόλεως τὸ στράτευμα ἄγων, ἐπεὶ B 249
Ἀμίδης ὀλίγῳ πλέον ἡμέρας ὁδῷ εὐζώνῳ ἀνδρὶ διειστή-
κει. ὥσπερ δέ τι πάρεργον ὁδοῦ διαχειρίζων καὶ τῆς 5
ἐφόδου παρενθήκην τινὰ εὐθυωρὸν τὴν πόλιν ἐξεῖλεν,
οὐ τειχομαχήσας ἢ προσβολήν τινα ἢ προσεδρείαν πεποιη-
μένος, ἀλλὰ δηλώσας ὅτι δὴ ἀφίξεται μόνον. εὖ γὰρ 6 P 65
εἰδότες οἱ τῇδε ᾠκημένοι ὡς οὐδὲ βραχεῖάν τινα χρόνου
στιγμὴν τῷ στρατοπέδῳ ἀνθέξουσιν, ἐπειδὴ ἀγχοῦ τῶν
Μήδων στρατὸν ἥκοντα εἶδον, ἅμα Θεοδώρῳ τηνικάδε
Σοφανηνῆς σατραπεύοντι καὶ τῆς σατραπείας ἐνδιδυσκο-
μένῳ τὸ σχῆμα, Καβάδῃ προσῆλθον εὐθύς, σφᾶς τε
αὐτοὺς καὶ Μαρτυρόπολιν αὐτῷ ἐνδιδόντες, φόρους τε
τοὺς δημοσίους ἐνιαυτοῖν δυοῖν ἐν χερσὶν ἔχοντες. οἷς 7
δὴ ὁ Καβάδης ἡσθεὶς τῆς μὲν πόλεώς τε καὶ χώρας ἁπά-
σης, ὡς τῇ Περσῶν ἀρχῇ προσηκούσης, ἀπέσχετο, τοὺς
δὲ ἀνθρώπους ἀθῴους ἀφῆκεν, οὔτε τι λυμηνάμενος οὔτε
τι τῆς πολιτείας μεταβαλών, ἀλλὰ Θεόδωρον αὐτὸν σατρά-
πην αὐτοῖς ἐπιστήσας καὶ αὐτῷ ἅτε οὐ γεγονότι ἀγνώ-
μονι τὰ σύμβολα ἐγκεχειρικὼς τῆς ἀρχῆς, ὡς τὴν χώραν
φυλάξοντι Πέρσαις. οὕτω τε τὸ στράτευμα πρόσω ἀπα- 8

7 cf. I 111, 4.

1 Ἀρξανηνὴ scripsi] ἀρξάνη codd., cf. I p. 40, 12. 216, 16. Ioannes Epiphan. fr. 3. Petri Patric. fr. 14. Mich. Syr. 199, not. 2. 9 εὐθύωρον codd. 10 ἢ προσβολήν V] οὐδὲ προσβολὴν A. 15 σοφανίνης V, Σοφανήνης Maltr. 15—16 ἐνδιδυσκομένῳ Maltr.] ἐνδυδυσκομένωι V. 16 εὐθύς A] om. V. 18 τοὺς V] om. A. δυεῖν V. 20 ἀπέσχετο V] ἀντέσχετο A.

γαγὼν πολιορκίᾳ τε Ἄμιδαν ἐξελὼν ἐς τὰ Περσῶν ἤθη
ἀπήλαυνεν, ἧπερ ἐν λόγοις μοι τοῖς ὑπὲρ τῶν πολέμων
9 ἐρρήθη. βασιλεύς τε Ἀναστάσιος ἐξεπιστάμενος ὡς οὐχ
οἷόν τε ἦν Μαρτυρόπολιν ὀχύρωμα οὐδὲν ἔχουσαν ἐκ πο-
λεμίων διασώσασθαι προσβολῆς, οὐχ ὅπως ἐπὶ Θεόδωρόν
τε καὶ Σοφανηνοὺς ἠγανάκτησεν, ἀλλὰ καὶ χάριτας αὐτοῖς
10 τῆς πράξεως ἔχειν ὡμολόγει πολλάς. ταύτης οὖν τῆς
B 250 Μαρτυροπόλεως τοῦ περιβόλου ἐτύγχανε τὸ μὲν πάχος
διῆκον ἐς πόδας μάλιστα τέσσαρας, τὸ δὲ ὕψος ἄχρι ἐς
εἴκοσιν· ὥστε τοῖς πολεμίοις αὐτὸν οὐ τειχομαχοῦσιν
οὐδὲ μηχανὰς προσβάλλουσι μόνον εὐέφοδον εἶναι, ἀλλὰ
καὶ ἐσπηδῆσαι ἱκανῶς πρόχειρον.

11 Διὸ δὴ βασιλεὺς Ἰουστινιανὸς ἐπενόει τάδε· τοῦ περι-
βόλου ἐκτὸς τὴν γῆν διορύξας, θεμέλιά τε ταύτῃ ἐνθέ-
μενος τείχισμα ᾠκοδομήσατο ἕτερον ἐς ποδῶν πάχος διῆ-
κον τεττάρων, χώραν διαλιπὼν μεταξὺ τεττάρων ἑτέρων
τὸ εὖρος, ἐς ὕψος δὲ καὶ τοῦτο ἀναστήσας ποδῶν εἴκο-
12 σιν, ἴσον τῷ προτέρῳ παντάπασιν ἐσκευάσατο εἶναι. μετὰ
δὲ λίθους τε καὶ τίτανον ἐς χῶρον τὸν μεταξὺ τείχους
ἑκατέρου ἐμβεβλημένος ἐς μίαν τινὰ οἰκοδομίαν δυοκαί-
δεκα τὸ πάχος ποδῶν τὸ ἔργον τοῦτο ἀποτετόρνευται.
13 ὕπερθέν τε κατὰ πάχος τὸ αὐτὸ μάλιστα ἐς ὕψος τοσοῦ-
14 τον ἐντέθεικεν, ὅσον ξυνέβαινε τὸ πρότερον εἶναι. ἀλλὰ
καὶ προτείχισμα λόγου πολλοῦ ἄξιον τῇ πόλει δεδημιούρ-
γηκε καὶ τὰ ἄλλα ἁπλῶς ἅπαντα οἷς δὴ πόλεως ὀχύρωμα
διασώζεται.

P 56 γʹ. Ἐκ δὲ Μαρτυροπόλεως ἐς δύοντά που τὸν ἥλιον
ἰόντι χωρίον ἐστὶ Φεισὼν ὄνομα ἐν Ἀρμενίᾳ μὲν καὶ αὐτὸ

2 cf. I p. 86, 5. 6 Mal. 427, 15.

7 τῆς 2 A] om. V. 9 δὲ A] δέ γε V. ἐς V] om. A.
28 Φεισὼν] idem castellum est quod I 262, 23 dicitur Φισῶν.

κείμενον τῇ Σοφανηνῇ καλουμένῃ, Μαρτυροπόλεως δὲ
ὀλίγον ἔλασσον ἢ ὁδῷ ἡμέρας διέχον. τούτου δὲ τοῦ 2
χωρίου ἐπέκεινα, ὅσον ἐκ σημείων ὀκτὼ μάλιστα, ὄρη
ἀπότομα καὶ παντάπασιν ἀδιέξοδα ξυνιόντα ἐς ἄλληλα
στενωποὺς ἀπεργάζονται δύο, ἄγχιστά πῃ ἀλλήλοιν ὄν-
τας οὕσπερ νενομίκασι Κλεισούρας καλεῖν. τοὺς δὲ ἐκ 3
Περσαρμενίας ἐπὶ Σοφανηνὴν πορευομένους, εἴτε ἐξ αὐτῶν
τῶν Περσικῶν ὁρίων εἴτε διὰ τοῦ Κιθαρίζων φρουρίου
ἴοιεν, ἀμήχανά ἐστιν ὅτι μὴ διὰ τούτων δὴ τῶν δύο στεν-
ωπῶν ἐνταῦθα γενέσθαι. καλοῦσι δὲ αὐτῶν οἱ ἐπι- 4 B 251
χώριοι Ἰλλυρισὸν μὲν τὸν ἕτερον, τὸν δὲ ἄλλον Σαφχάς.
ὅπως μὲν οὖν ἀναστέλλοιτο τοῖς πολεμίοις ἡ ἐνταῦθα 5
ὁδὸς ἀσφαλείας τε αὐτῆς καὶ τῆς ἄλλης ἐπιμελείας ἄξια
ἐν τοῖς μάλιστα τὰ χωρία ταῦτα ὄντα ἐτύγχανεν. ἀλλὰ
καὶ ὣς ἀφύλακτα τὸ παράπαν μεμένηκε τοῖς πρόσθεν ἀν-
θρώποις. βασιλεὺς δὲ Ἰουστινιανὸς ἔν τε τῷ Φεισὼν 6
κἀν τοῖς στενωποῖς ὀχυρώματά τε ἀξιοθέατα καὶ στρατιω-
τῶν φρουρὰν ἀνανταγώνιστον καταστησάμενος, ἄβατον
βαρβάροις τὴν χώραν διεπράξατο παντάπασιν εἶναι. τὰ
μὲν οὖν ἐπὶ χώρας τῆς Σοφανηνῆς καλουμένης τῇδε Ἰουστι-
νιανῷ βασιλεῖ εἴργασται.

Ἐν δὲ τῷ Κιθαρίζων χωρίῳ, ὅπερ ἐπὶ Ἀσθιανίνης τῆς 7
καλουμένης ἐστί, φρούριον οὐ πρότερον ὂν ἐν χώρῳ λο-
φώδει ὑπερφυές τε καὶ δαιμονίως ἄμαχον κατεστήσατο·
ἔνθα δὴ καὶ διαρκὲς ὕδωρ ἐσαγαγὼν τά τε ἄλλα πάντα 8
τοῖς τῇδε ᾠκημένοις ἐν ἐπιτηδείῳ πεποιημένος, τὸν ἕτε-
ρον δοῦκα, ἧπέρ μοι εἴρηται, ξὺν στρατιωτῶν ἐνταῦθα

27 cf. ae. III 2, 1.

5 στενωποὺς V] ποταμοὺς A. 5—6 ὄντας V] ὄντα A.
22 κιθαρίζων V] κιθαρίζον A. Ἀσθιανίνης] cf. Nov. 31, 1.

φρουρᾷ ἱκανωτάτῃ ἱδρύσατο. ταύτῃ τε τοῖς τῶν Ἀρμενίων ἔθνεσι τὴν ἀσφάλειαν ἀνεσώσατο.

9 Ἐκ δὲ Κιθαρίζων ἔς τε Θεοδοσιούπολιν καὶ Ἀρμενίαν
τὴν ἑτέραν ἰόντι Χορζάνη μὲν ἡ χώρα καλεῖται, διήκει
δὲ ἐς ὁδὸν τριῶν ἡμερῶν μάλιστα οὔτε λίμνης τινὸς ὕδατι
οὔτε ποταμοῦ ῥείθρῳ οὔτε ὄρεσι τὴν δίοδον ἐν στενῷ εἴργουσι
διοριζομένη τῆς τῶν Περσῶν γῆς, ἀλλὰ τῶν ὁρίων
10 αὐταῖς ἀναμὶξ κειμένων. ὥστε οἱ ταύτῃ ᾠκημένοι, Ῥωμαίων
ἢ Περσῶν ὄντες κατήκοοι, οὔτε τι ἀπ' ἀλλήλων
δέος ἔχουσιν οὔτε ἀλλήλοις πη ἐς ἐπιβουλήν εἰσιν ὕποπτοι,
ἀλλὰ καὶ γάμους ἀλλήλοις ἐπικηδεύουσι καὶ ἀγορὰν
τῶν ἐπιτηδείων συμβάλλονται καὶ τὰ ἐς γεωργίαν ἐπι-
11 B 252 κοινοῦνται. ἤν δέ ποτε οἱ τῶν ἑτέρων ἄρχοντες ἐπὶ
τοὺς ἑτέρους στρατῷ ἴωσιν, ἐπιτεταγμένον σφίσι πρὸς τοῦ
βασιλέως, ἀφυλάκτους ἀεὶ τοὺς πλησιοχώρους εὑρίσκουσι.
12 χωρία μὲν γὰρ ἑκατέροις πολυανθρωπότατα ὡς ἀγχοτάτω
ἀλλήλων ἐστίν, ἔρυμα δὲ οὐδετέροις πη ἐκ παλαιοῦ ἦν.
13 P 57 παρῆν οὖν ἐνθένδε τῷ Περσῶν βασιλεῖ ῥᾷόν τε καὶ
ἀπονώτερον τὴν δίοδον ἐς τὰ Ῥωμαίων ἤθη ποιεῖσθαι,
ἕως βασιλεὺς Ἰουστινιανὸς διακωλυτὴς αὐτῷ γέγονε
τρόπῳ τοιῷδε. χωρίον ἦν ἐπὶ μέσης τῆς χώρας Ἀρταλέ-
14 σων ὄνομα. τοῦτο τείχει ἐχυρωτάτῳ περιβαλὼν φρούριόν
τε ἀμαχώτατον ἐξειργάσατο καὶ στρατιωτικοὺς καταλόγους
τῇδε ἱδρύσατο, οἷς δὴ ἄρχοντα ἐς ἀεὶ ἐφεστάναι
διώρισεν, ὅνπερ δοῦκα Ῥωμαῖοι τῇ Λατίνων καλοῦσι φωνῇ.
οὕτω τε τὴν ἐκείνῃ ἐσχατιὰν ἐτειχίσατο ξύμπασαν.

δ'. Ταῦτα μὲν οὖν βασιλεῖ ταύτῃ ἐξείργασται. ὅσα δὲ αὐτῷ ἐπὶ τῆς ἄλλης Ἀρμενίας διαπεπόνηται ἐρῶν ἔρχο-

4 χορζάνη V] Χορζηνὴ Strabo 528, Κορζάνη Dind., frustra,
cf I 262, 18. 11 ἀγοράν V] ἀγορᾶς A. 17 οὐδετέροις πη
Hoesch.] οὐδ' ἑτέροις πῇ V. 25 ὅνπερ V] ὃν A. 27 βασιλεῖ
⟨Ἰουστινιανῷ⟩ Maltr.

μαι. Σάταλα πόλις ἐπὶ σφαλερᾶς τὸ παλαιὸν ἐλπίδος 2
εἱστήκει. τῶν μὲν γὰρ πολεμίων τῆς γῆς ὀλίγῳ διέχει,
ἐν δαπέδῳ δὲ χθαμαλῷ κεῖται, λόφοις τε πολλοῖς ἀμφ'
αὐτὴν ἐπανεστηκόσιν ὑπόκειται, περιβόλων τε αὐτῇ διὰ
ταῦτα ἔδει τοῖς ἐπιβουλεύουσιν ἀμηχάνων ἑλεῖν. ἀλλὰ 3
καὶ τοιαύτῃ τοῦ χωρίου τὴν φύσιν οὔσῃ τὰ ἐκ τοῦ ἐρύματος
σφαλερώτερα ἦν, φαύλως τε ἀρχὴν τῇ κατασκευῇ
καὶ παρέργως πεποιημένου καὶ τῷ μακρῷ χρόνῳ ἤδη τῆς
οἰκοδομίας ἑκασταχοῦ διερρωγότος. ἀλλὰ τοῦτο περιε- 4
λὼν ὁ βασιλεὺς ὅλον, περίβολον ᾠκοδομήσατο ἐνταῦθα
νέον, ὑψηλὸν μὲν ὅσον ὑπερπεφυκέναι τοὺς ἀμφ' αὐτὸν
λόφους δοκεῖν, εὐρυνόμενον δὲ ὅσον ἐπ' ἀσφαλοῦς ἐπανεστηκέναι
τό γε τοῦ ὕψους ὑπέρογκον. καὶ προτείχισμα 5
δὲ πολλοῦ ἄξιον λόγου πηξάμενος ἐν κύκλῳ τοὺς πολε- B 253
μίους κατέπληξε. καὶ φρούριον δὲ Σατάλων οὐ πολλῷ
ἄποθεν ἐχυρὸν ἄγαν ἐν χώρᾳ Ὀσροηνῶν καλουμένῃ ᾠκοδομήσατο.

Ἦν δέ τι φρούριον ἐν τῇδε τῇ χώρᾳ ἐν ἀκρωνυχίᾳ 6
λόφου κατακρήμνου πεποιημένον τοῖς πάλαι ἀνθρώποις,
ὃ δὴ Πομπήιος ἐν τοῖς ἄνω χρόνοις ὁ Ῥωμαίων στρατηγὸς
ἐξελὼν καὶ τῆς χώρας τῷ πολέμῳ κύριος γεγονὼς
ἐκρατύνατό τε ὡς μάλιστα καὶ Κολώνειαν ἐπωνόμασε· καὶ 7
τοῦτο οὖν χρόνῳ πεπονηκὸς τοσούτῳ τὸ πλῆθος βασιλεὺς
Ἰουστινιανὸς ἀνεσώσατο δυνάμει τῇ πάσῃ. καὶ χρή- 8
ματα μέντοι προέμενος ἀνάριθμα τοῖς τῇδε ᾠκημένοις,
ἐρύματα ἑκασταχοῦ διεπράξατο ἐν τοῖς αὐτῶν ἰδίοις ἀγροῖς
ἢ νέα δείμασθαι, ἢ ἀνοικοδομήσασθαι σαθρὰ γεγο-

2 ὀλίγῳ V] ὀλίγον A. 7 φαύλως A] φαύλῳ V. 11—12
δοκεῖν τοὺς ἀμφ' αὐτὸν λόφους A. 14 δὲ A] om. V. 15 καὶ
V] om. A. 16 ὀροσηνῶν V, ὀροηνῶν A, Ὀρσήνῃ conicit Maltr.
secutus Ptolemaeum 5, 7. 18 ἀκρονυχία A. 19 κατακρημνου
πεποιημένον V] ἀποκρήμνου γεγενημένον A.

9 νόντα. ὥστε ἅπαντα σχεδόν τι τὰ ὀχυρώματα, ὅσα δὴ ἐν-
ταῦθα ξυμβαίνει εἶναι, Ἰουστινιανοῦ βασιλέως τυγχάνει
10 ἔργα ὄντα. ἐνταῦθα δὲ καὶ φρούρια ᾠκοδομήσατο τό τε
Βαιβερδῶν καλούμενον καὶ τὸ Ἄρεων. καὶ τὸ Λυσίορ-
μον ἀνενεώσατο πεπονηκὸς ἤδη σὺν τῷ Λυταραριζῶν.
11 P 58 ἔν τε χωρίῳ, ὅπερ Γερμανοῦ καλοῦσι Φοσσᾶτον, φρού-
ριον ἐδείματο νέον. ἀλλὰ καὶ Σεβαστείας καὶ Νικοπό-
λεως τῶν ἐν Ἀρμενίαις πόλεων τὰ τείχη, ἐπεὶ καταπεσεῖ-
σθαι πάντα ἔμελλον, τεταλαιπωρημένα τῷ μήκει τοῦ χρό-
12 νου, ἀνοικοδομησάμενος πεποίηται νέα. καὶ ἱερῶν δὲ καὶ
μοναστηρίων ἐνταῦθα οἰκοδομίας ἐξείργασται. ἔν τε γὰρ
B 254 τῇ Θεοδοσιουπόλει νεὼν τῇ θεοτόκῳ ἀνέθηκε, καὶ μονα-
στήρια ἔν τε χωρίῳ τῷ καλουμένῳ Πέτριος, κἀν τῷ Κου-
13 χαρίζων ἀνενεώσατο. ἔν τε Νικοπόλει τὸ τῶν ἁγίων τεσ-
σαράκοντα πέντε καλούμενον μοναστήριον, καὶ ἱερὸν Γε-
14 ωργίῳ τῷ μάρτυρι ἐν Βιζανοῖς ἐδείματο. τῆς τε Θεοδο-
σιουπόλεως ἄγχιστα μοναστήριον ἀνενεώσατο τῶν τεσ-
σαράκοντα μαρτύρων ἐπικαλούμενον.

15 Ἦν δέ τι χωρίον ἐν τοῖς Ἀρμενίοις τὸ παλαιὸν μικροῖς
καλουμένοις οὐ πολλῷ ἄποθεν ποταμοῦ Εὐφράτου, ἐφ'
16 οὗ δὴ λόχος Ῥωμαίων στρατιωτῶν ἵδρυτο. Μελιτηνὴ μὲν
τὸ χωρίον, λεγεὼν δὲ ὁ λόχος ἐπωνομάζετο. ἐνταῦθά πη
ἔρυμα ἐν τετραγώνῳ ἐπὶ χώρας ὑπτίας ἐδείμαντο ἐν τοῖς
ἄνω χρόνοις Ῥωμαῖοι, τοῖς τε στρατιώταις ἀποχρώντως
ἐς καταλύσεις ἔχον καὶ ὅπως σφίσι τὰ σημεῖα τῇδε ἐνα-
17 ποκείσονται. μετὰ δὲ Τραϊανῷ τῷ Ῥωμαίων αὐτοκρά-

21 λόχος] i. e. legio XII. cf. Suet. Vesp. 8, 10. Dio Cass. 55, 23. 71, 9.

6 Φοσσᾶτον Dind.] φοσάτον V. 9 πάντα A] πάντως V. ἔμελλον V] ἔμελλε A. 10 δὲ A] τε V. 16 βυζανοῖς A. 20 ἐφ' V] ἀφ' A. 26 τραιανῷ A] τραϊνῷ V.

τορι δεδογμένον, ἐς πόλεώς τε ἀξίωμα ὁ χῶρος ἀφῖκται
καὶ μητρόπολις κατέστη τῷ ἔθνει. προϊόντος δὲ τοῦ χρό- 18
νου ἐγένετο ἡ τῶν Μελιτηνῶν πόλις μεγάλη καὶ πολυάν-
θρωπος. ἐπεί τε ἐρύματος ἐντὸς ἐνοικήσασθαι οὐκέτι
εἶχον (ἐς γὰρ ὀλίγον τινὰ ξυνῄει χῶρον, ᾗπέρ μοι εἴρη-
ται) ἱδρύσαντο ἐν τῷ ταύτης πεδίῳ, ἵνα δὴ τὰ ἱερὰ σφίσι
πεποίηται καὶ τὰ τῶν ἀρχῶν καταγώγια καὶ τήν τε ἀγο-
ράν, ὅσα τε ἄλλα ἐμπολημάτων πωλητήριά ἐστι, τάς τε
τῆς πόλεως ἀγυιὰς πάσας καὶ στοὰς καὶ βαλανεῖα καὶ θέ-
ατρα καὶ εἴ τι ἄλλο πόλεως μεγάλης ἐς κόσμον διήκει.
τῷ τε τρόπῳ τούτῳ Μελιτηνὴν ἀτείχιστον ἐκ τοῦ ἐπὶ 19
πλεῖστον ξυνέβαινεν εἶναι. Ἀναστάσιος μὲν οὖν βασι-
λεὺς αὐτὴν ξύμπασαν τείχει περιβαλεῖν ἐγκεχείρηκεν.
οὔπω μέντοι τὸ βούλευμα ἀποτελέσας τὸν βίον συνεμε- 20
τρήσατο. βασιλεὺς δὲ Ἰουστινιανὸς πανταχόθεν αὐτὴν
βεβαιότατα κατατειχισάμενος μέγα τοῖς Ἀρμενίοις ὀχύ- B 255
ρωμά τε καὶ ἐγκαλλώπισμα Μελιτηνὴν ἀπειργάσατο.

έ. Ταῦτα μὲν οὖν ἐν Ἀρμενίᾳ, ἥ ἐστιν ἐν δεξιᾷ Εὐ-
φράτου ποταμοῦ, εἰργάσατο· ὅσα δέ οἱ ἐν Ἀρμενίᾳ τῇ
μεγάλῃ πεποίηται, ἐρῶν ἔρχομαι. ἡνίκα Θεοδόσιος ὁ 2
Ῥωμαίων βασιλεὺς τὴν Ἀρσάκου ἐπικράτειαν ἔσχεν, ᾗπέρ
μοι ἔναγχος δεδιήγηται, φρούριον ἐπί τινος τῶν λόφων
ᾠκοδομήσατο τοῖς προσιοῦσιν εὐάλωτον, ὃ δὴ Θεοδο- P 59

23 cf. ae. III 1, 12.

1 ἀξίωμα V] ὀχύρωμα A. 2 τοῦ V] om. A. 4 τε — ἐντὸς V] δὲ ἐντὸς τοῦ ἐρύματος A. οὐκέτι V] οὐκ A. 5 ἐς γὰρ V] ἐπεὶ ἐς A. 6 τὰ V] τά τε A. 7 πεποίηται V] πεποίηνται A. καὶ 2 V] om. A. 9 ἀγυὰς V. 14 ἀποτελέσας A] ὑποτελέσας V. 16 βεβαιότατα κατατειχισάμενος V] τειχισάμενος A. 17 ἐγκαλώπισμα V. 18—19 ποταμοῦ εὐφράτου A. ἥ — Ἀρμενίᾳ] omissa erant in V, sed in marg. suppleta sunt. 22 λόφων Maltr.] λίθων V.

3 σιούπολιν ἐπωνόμασε. τοῦτο Καβάδης τότε ὁ Περσῶν
βασιλεύς, ἡνίκα δὴ Ἀμίδης εὐθὺ ἵετο, παριὼν εἷλεν.
4 Ἀναστάσιος δὲ ὁ Ῥωμαίων αὐτοκράτωρ οὐ πολλῷ ὕστε-
ρον πόλιν ἐνταῦθα ἐδείματο τὸν λόφον ἐντὸς τοῦ περι-
βόλου πεποιημένος, ἐφ᾽ οὗ δὴ φρούριον τὸ Θεοδοσίου
5 εἱστήκει. καὶ τὸ μὲν αὐτοῦ ὄνομα τῇ πόλει ἀφῆκεν, ἐξί-
τηλον δὲ τὸ Θεοδοσίου ποιεῖσθαι τοῦ πρότερον οἰκιστοῦ
ἥκιστα ἴσχυσεν, ἐπεὶ νεοχμοῦσθαι μὲν τὰ καθωμιλημένα
τοῖς ἀνθρώποις ἐς ἀεὶ πέφυκεν, ὀνομάτων δὲ τῶν πρό-
6 σθεν μεθίεσθαι οὐκ εὐπετῶς ἔχει. τοῦτο δὲ τὸ Θεοδο-
σιουπόλεως τεῖχος εὐρύνετο μὲν ἱκανώτατα, οὐ κατὰ
7 λόγον δὲ τοῦ εὔρους ἀνεῖχε. τὸ γὰρ ὕψος αὐτῷ ἐς τριά-
κοντα ἐξικνεῖτο μάλιστα πόδας· ταύτῃ τε πολεμίοις τει-
χομαχοῦσιν, ἄλλως τε καὶ Πέρσαις ἐγεγόνει λίαν εὐάλω-
8 τον. ἦν δὲ καὶ ἄλλως ἐπίμαχον. οὔτε γὰρ προτείχισμα
9 οὔτε τάφρος αὐτῷ ἤμυνεν. ἀλλὰ καὶ χῶρός τις ὡς ἀγχο-
τάτω ἐπεμβαίνων τῇ πόλει τῷ περιβόλῳ ἐπανειστήκει.
διὸ δὴ βασιλεὺς Ἰουστινιανὸς ἀντεμηχανήσατο τάδε.
πρῶτα μὲν τάφρον ὡς βαθυτάτην ἐν κύκλῳ ὀρύξας,
B 256 χαράδραις αὐτὴν ὀρῶν ἀποτόμων ἐμφερεστάτην εἰργά-
10 σατο. ἔπειτα δὲ χῶρον τὸν ὑπερπεφυκότα κατατεμὼν ἔς
τε ἀνεκβάτους κρημνοὺς καὶ σήραγγας ἀδιεξόδους μετε-
στήσατο τὴν αὐτοῦ φύσιν· ὅπως δὲ τὸ τεῖχος ὑψηλόν τε
εἴη διαφερόντως καὶ ὅλως ἀνανταγώνιστον, εἴ τις προσ-
ίοι, προσεπετεχνήσατο ἅπαντα ὅσα ἐν πόλει Δάρας εἰρ-
11 γάσατο. τὰς γὰρ ἐπάλξεις ἀποσφίγξας ἐν στενῷ μάλιστα
ὅσον ἐνθένδε βάλλειν τοὺς τειχομαχοῦντας δυνατὰ εἶναι,

2 cf. Zach. 104, 26, Theoph. I 144, 26.

6 αὐτοῦ Maltr.] αὐτοῦ V. 16—17 ἀγχωτάτω A. 19 πρῶτα μὲν A] om. V. 22 κρημνοὺς V] om. A.

ἔμβολόν τε αὐταῖς λίθων ἐπιβολαῖς ἐν περιδρόμῳ περιε-
λίξας, ἐντέθεικεν ἐμπείρως ἐπάλξεις ἑτέρας, προτειχίσματί
τε αὐτὸ περιβαλὼν κύκλῳ ἐμφερέστατον τῷ ἐν πόλει
Δάρας περιβόλῳ πεποίηται, πύργον ἕκαστον φρούριον
ἐχυρὸν τεκτηνάμενος. οὗ δὴ τὰς δυνάμεις ἁπάσας καὶ 12
τὸν ἐν Ἀρμενίαις στρατηγὸν ἱδρύσασθαι καταστησάμενος
κρείσσους τοὺς Ἀρμενίους διεπράξατο τὸ λοιπὸν εἶναι
ἢ δεδιέναι τὴν Περσῶν ἔφοδον.
Ἐς μέντοι τὰ Βιζανὰ οὐδὲν εἴργασται τῷ βασιλεῖ 13
τούτῳ ἐξ αἰτίας τοιᾶσδε. κεῖται μὲν ἐν τῷ ὁμαλῷ τὸ
χωρίον, πεδία τε ἀμφ᾽ αὐτὸ ἐπὶ μακρὸν ἱππήλατά ἐστιν,
ὕδατος δὲ σηπεδόνες πολλαὶ ξυνισταμένου ἐνταῦθά εἰσι.
καὶ ἀπ᾽ αὐτοῦ τοῖς μὲν πολεμίοις ἐπιμαχώτατον, τοῖς δὲ 14
οἰκήτορσι λοιμωδέστατον αὐτὸ ξυμβαίνει εἶναι. ὧν δὴ 15
ἕνεκα τὸ χωρίον τοῦτο ὑπεριδὼν ἑτέρωθι πόλιν ἐδείματο
αὐτοῦ βασιλέως ἐπώνυμον, ἀξιολογωτάτην τε καὶ ἄμαχον
ὅλως ἐν χωρίῳ Τζουμινᾷ καλουμένῳ, ὅπερ σημείοις μὲν
τρισὶ Βιζανῶν διέχει, ἐν κρημνώδει δὲ μάλιστα κείμενον
εὐεξίας ἀέρων εὖ ἔχει.
ϛʹ. Τὰ μὲν οὖν ἐν Ἀρμενίοις Ἰουστινιανῷ βασιλεῖ τῇδέ B257P60
πῃ ἔχει. τὰ δὲ δὴ κατὰ τὰ Τζάνων ἔθνη ἀναγράψασθαί
μοι ἐνταῦθα τοῦ λόγου οὔ τι ἀπὸ τρόπου ἔδοξεν εἶναι,
ἐπεὶ καὶ πρόσοικοι Ἀρμενίοις εἰσίν. αὐτόνομοι μὲν 2
Τζάνοι ἐκ παλαιοῦ καὶ ἄναρχοι ᾤκουν, θηριώδη τινὰ
βιοτὴν ἔχοντες, θεοὺς μὲν τά τε ἄλση καὶ ὄρνις καὶ ἄλλα
ἄττα ζῷα ἡγούμενοί τε καὶ σέβοντες, ἐν ὄρεσι δὲ οὐρα-

25 cf. I p. 77, 9—78, 18.

9 βυζανὰ A. 10 ὁμαλῷ V] ὁμαλεῖ A. 11 τε Maltr.] δὲ codd. 14 αὐτὸ V] om. A. 21 τὰ 2 V] om. A. Τζάνων] sic scribitur in libris de bellis, τζανῶν, τζάνων etc. in libris de aedificiis. 22 ἄπο V. 25—26 ἄλλα ἄττα] ἄλλα ἄττα V, ἀλλάττα A.

νομήκεσί τε καὶ ἀμφιλαφέσι τὸν πάντα αἰῶνα δίαιταν
ἔχοντες, γῆν δὲ οὐδαμῆ γεωργοῦντες, ἀλλὰ ληστεύοντές
3 τε καὶ τοῖς φωρίοις ἀεὶ ἀποζῶντες. αὐτοί τε γὰρ ἀμε-
λέτητοί εἰσιν ἐργάζεσθαι γῆν καὶ ἡ χώρα σφίσιν, ἔνθα
δὴ μὴ ὄρη τά γε ἀποτομώτατα περιβέβληται, λοφώδης
4 ἐστίν. οὐ γήλοφοι δέ εἰσι τὰ ἐπανεστηκότα τῆς γῆς οὐδὲ
γεώδη οὐδὲ οἷα καρποὺς ἀφεῖναι, εἴ τις αὐτῶν ἐπιμελοῖτο,
ἀλλὰ τραχέα τε ὑπερβαλλόντως καὶ σκληρὰ ὑπεράγαν καὶ
5 καρπῶν ἁπάντων δεινῶς ἄφορα. καὶ οὔτε ἀρόσαι τὴν γῆν
οὔτε ἀμήσασθαι λήιον οὔτε λειμῶνι ἐντυχεῖν ἐνταῦθά
πη δυνατὰ γίνεται, ἀλλὰ καὶ τοῖς δένδροις, οἷσπερ ἡ
Τζανικὴ τέθηλεν, ἀκάρποις τε οὖσιν ἀνθεῖ καὶ ὅλως
ἀγόνοις, ἐπεὶ οὐδὲ ἀλλήλους ἐκδέχονται καιροὶ ἐκ τοῦ
ἐπὶ πλεῖστον, οὐδὲ νῦν μὲν ἡ γῆ τῷ τῆς ὥρας ὑγρῷ τε
καὶ ψυχρῷ βάλλεται, νῦν δὲ δὴ αὐτὴν ἡ τοῦ ἡλίου θέρμη
ὀνίνησιν, ἀλλὰ χειμῶνί τε ἀπεράντῳ ξυνῴκισται ἡ χώρα
6 καὶ χιόσιν ἀϊδίοις κατάρρυτός ἐστι. διὰ ταῦτα μὲν αὐτό-
νομοι τὸ παλαιὸν οἱ Τζάνοι ἐβίουν, ἐπὶ τούτου δὲ Ἰου-
στινιανοῦ βασιλεύοντος ἡττήθησάν τε Ῥωμαίων τῇ μάχῃ,
Τζίττα στρατηγοῦντος Ῥωμαίων, καὶ τὴν ἀγώνισιν ἀπο-
γνόντες εὐθὺς προσεχώρησαν αὐτῷ ἅπαντες, πρὸ τῆς
ἐπικινδύνου ἐλευθερίας τὴν ἄπονον δουλείαν ἑλόμενοι
7 B 258 σφίσι. καὶ τήν τε δόξαν ἐπὶ τὸ εὐσεβὲς αὐτίκα μετέθεντο
ἅπαντες Χριστιανοὶ γεγενημένοι, τήν τε δίαιταν ἐπὶ τὸ
ἡμερώτερον μεθηρμόσαντο, ληστείας μὲν ἀφέμενοι πά-
σης, τοῖς δὲ Ῥωμαίοις συστρατεύοντες, ἐπὶ πολεμίους ἀεὶ
8 τοὺς σφετέρους ἰοῦσι. δείσας δὲ Ἰουστινιανὸς βασιλεὺς
μή ποτε Τζάνοι μεταπορευσάμενοι τὴν δίαιταν αὖθις τὰ

5 τά γε V] τάδε A. 8 ὑπερβαλλόντως V in contextu] διαφερόντως A, γρ. καὶ διαφερόντως V in marg. 12 ἄνθει A, αὖθις V. 20 Τζίττα scripsi] τζίτα V, in libris de bell. I et II dicitur Σίττας.

σφέτερα ἤθη ἐπὶ τὸ ἀγριώτερον μεταστρέψωνται ἐπενόει
τοιάδε.

Δύσοδος ἦν ἡ Τζανικὴ λίαν καὶ ἄφιππος ὅλως, κρη- 9
μνοῖς τε πανταχόθεν καὶ χώροις περικεκλεισμένη ἐκ τοῦ
ἐπὶ πλεῖστον ὑλώδεσιν, ἧπέρ μοι εἴρηται. καὶ ἀπ᾽ αὐτοῦ 10
Τζάνοις ἐπιμίγνυσθαι τοῖς πλησιοχώροις ἀμήχανον ἦν,
ἀλλὰ κατὰ μόνας ἐν σφίσιν αὐτοῖς ἀπηγριωμένοι θηρίων P 61
τρόπον τὴν δίαιταν εἶχον. τὰ τοίνυν δένδρα ἐκτεμὼν 11
ἅπαντα, οἷσπερ τὰς ὁδοὺς ξυνέβαινε ξυμποδίζεσθαι, καὶ
τὰς ἐκείνῃ δυσχωρίας μεθαρμοσάμενος, εὐπετεῖς τε αὐτὰς
καὶ ἱππασίμους καταστησάμενος, ἐπιμίγνυσθαι αὐτοὺς
κατὰ ταὐτὰ τοῖς ἄλλοις ἀνθρώποις καὶ προσχωρεῖν τῇ
ὁμιλίᾳ τῶν πλησιοχώρων πεποίηκεν. ἔπειτα δὲ αὐτοῖς 12
ἐκκλησίαν ἐν χωρίῳ Σχαμαλινίχων καλουμένῳ δειμάμε-
νος, ἱερᾶσθαί τε διεπράξατο καὶ μυστηρίων μεταλαμβά-
νειν λιταῖς τε τὸν θεὸν ἱλεοῦσθαι, καὶ τὰ ἄλλα ἐξοσιοῦ-
σθαι, συνιέντες ὡς ἄνθρωποι εἶεν. καὶ φρούρια δὲ οἰκο- 13
δομησάμενος πανταχόθι τῆς χώρας φρουρούς τε ἐνταῦθα
Ῥωμαίων στρατιωτῶν ἱδρυσάμενος βεβαιότατα, Τζάνοις
ἐς τοὺς ἄλλους ἀνθρώπους τὰς ἐπιμιξίας ἀκωλύτους
πεποίηκεν. ὅπῃ ποτὲ δὲ Τζανικῆς τὰ φρούρια ταῦτα 14
ἐδείματο, ἐρῶν ἔρχομαι.

Χώραν ἐνταῦθά τινα ἐς τρίοδον ἀποκεκριμένην ξυμ- 15 B 259
βαίνει εἶναι. Ῥωμαίων τε γὰρ καὶ Περσαρμενίων τὰ
ὅρια καὶ Τζάνων αὐτῶν τῇδε ἀρξάμενα ἐνθένδε διασκε-
δάννυται. ἐνταῦθα φρούριον ἐχυρώτατον, οὐ πρότερον 16
ὄν, ὄνομα Ὀρονῶν, ἐξείργασται, κεφάλαιον αὐτὸ τῆς
εἰρήνης πεποιημένος. ἔνθεν γὰρ τὰ πρῶτα Ῥωμαίοις ἡ 17

1 μεταστρέψωνται Hoesch.] μεταστρέψονται V. 12 ταὐτὰ Dind., l] ταῦτα V. 14 σχαμαλινίχων V] σκαμαλινίχων A. 15 ἱερᾶσθαί V] ἱερῶσθαι A. 15—16 μεταλαμβάνειν V] μεταλαγχάνειν A. 18 πανταχόθι A] πανταχόσε V.

Τζανικὴ ἐσβατὴ γέγονεν· οὗ δὴ καὶ ἄρχοντα στρατιωτῶν
18 κατεστήσατο, ὃν δοῦκα καλοῦσιν. ἐν χωρίῳ δὲ ὁδῷ ἡμέ-
ραιν δυοῖν Ὀρονῶν διέχοντι, οὗ δὴ Τζάνων τῶν Ὠκενι-
τῶν καλουμένων τὰ ὅριά ἐστιν (ἐπεὶ ἐς ἔθνη πολλὰ δια-
κέκρινται Τζάνοι), ἐνταῦθά τι ὀχύρωμα πεποιημένον ἦν
τοῖς πάλαι ἀνθρώποις, ἐρείπιον ἤδη πολλῷ πρότερον τῷ
19 ἀπημελῆσθαι γεγενημένον, Χαρτὼν ὄνομα. ὅπερ ἀνανεω-
σάμενος Ἰουστινιανὸς βασιλεύς, ἐνοικεῖν τε ἀνθρώπων
ἐνταῦθα διεπράξατο μέγα τι χρῆμα καὶ τὰ ἐς τὴν εὐκο-
20 σμίαν τῇ χώρᾳ φρουρεῖν. τῷ δὲ ἐνθένδε ἰόντι πρὸς
ἀνίσχοντα ἥλιον φάραγξ ἐστὶ κρημνώδης, κατατείνουσα
μέχρι ἐς τὰ πρὸς βορρᾶν ἄνεμον· οὗ δὴ φρούριον, Βαρ-
21 χὼν ὄνομα, ἐδείματο νέον. ἐπέκεινα δὲ κατὰ τοῦ ὄρους
τὴν ὑπώρειαν ἐπαύλεις εἰσίν, ἵνα δὴ οἱ Τζάνων τῶν
Ὠκενιτῶν καλουμένων βόες αὐλίζονται, οὕσπερ ἐκτρέ-
φουσιν οὐ τοῦ ἀροῦν τὴν γῆν ἕνεκα, ἐπεὶ ἀργοί τε τὸ
παράπαν οἱ Τζάνοι εἰσὶ καὶ γεωργικῶν ἀλλότριοι πόνων,
ἧπέρ μοι εἴρηται, καὶ οὔτε ἀρόματά ἐστιν αὐτοῖς οὔτε
ἄλλα τῆς γεωργίας διαπονήματα, ἀλλὰ τοῦ γε γάλα ἐς
22 ἀεὶ βδάλλειν καὶ σιτίζεσθαι τοῖς αὐτῶν κρέασι. μετὰ δὲ
τοῦ ὄρους τὸν πρόποδα, οὗ Κενὰ τὸ χωρίον ἐν τῷ ὁμαλῷ
ξυμβαίνει εἶναι, ἐνθένδε τοι ἰόντι ἐπὶ δύοντά που τὸν
B 260 ἥλιον, τὸ Σισιλισσῶν ὄνομα φρούριόν ἐστιν, ὅπερ ἐκ
παλαιοῦ μὲν πεποιημένον, ἔρημον δὲ διὰ χρόνου μῆκος
γεγενημένον ἀνανεωσάμενος Ἰουστινιανὸς βασιλεὺς διαρ-
κὲς Ῥωμαίων στρατιωτῶν, ὥσπερ κἀν τοῖς ἄλλοις ἅπασι,
23 φυλακτήριον κατεστήσατο. ἔνθεν δὲ ἰόντι ἐν ἀριστερᾷ
πρὸς βορρᾶν ἄνεμον χῶρός τίς ἐστιν, ὅνπερ καλοῦσιν

2 δυοῖν scripsi] δυεῖν V. 11 φάραγξ] φάραξ V pr. m. 16 τε A] om. V. 20 βδάλλειν A] βάλλει V. μετὰ δὲ V] καὶ μετὰ A. 21 ὁμαλῷ V] ὁμαλεῖ A. 23 Σισιλισσῶν Hoesch. in marg.] τισιλισσῶν V.

οἱ ἐπιχώριοι Λογγίνου φοσσᾶτον, ἐπεὶ Λογγῖνος ἐν τοῖς P 62
ἄνω χρόνοις Ῥωμαίων στρατηγός, Ἴσαυρος γένος, στρα-
τεύσας ἐπὶ Τζάνους ποτὲ τῇδε πεποίηται τὸ στρατόπε-
δον. ἐνταῦθα φρούριον ὁ βασιλεὺς οὗτος ὄνομα Βουρ- 24
γουσνόης δεδημιούργηκεν, ἡμέρας ὁδῷ Σισιλισσῶν διέ-
χον. ὅπερ Σισιλισσῶν φρούριόν ἐστι καὶ αὐτὸ ὑπ' 25
αὐτοῦ τοῦ βασιλέως, ὡς μικρὸν ἐρρήθη ἔμπροσθεν, ἐξειρ-
γασμένον βεβαιότατα. ἐντεῦθεν ὅρια τῶν Τζάνων τῶν 26
Κοξυλίνων καλουμένων ἐστίν· οὗ δὴ φρούρια νῦν πε-
ποίηται δύο, τό τε Σχαμαλινίχων καλούμενον καὶ ὅπερ
Τζανζάκων ἐπονομάζουσιν· ἔνθα δὴ καὶ ἄλλον ἄρχοντα
στρατιωτῶν κατεστήσατο.

ζ. Ταῦτα μὲν οὖν ἐν Τζάνοις Ἰουστινιανῷ βασιλεῖ
εἴργασται. ἐν δὲ δὴ τῇ μετ' αὐτοὺς χώρᾳ, ἣ παρὰ τὸν
Εὔξεινον οἰκεῖται Πόντον, πόλις ἐστί που, Τραπεζοῦς
ὄνομα· οὗ δὴ ἀπορίας ὑδάτων οὔσης, ὀχετὸν ἐτεκτήνατο
Ἰουστινιανὸς βασιλεύς, ὅνπερ Εὐγενίου καλοῦσι μάρτυ-
ρος, ταύτῃ τε τὴν ἀπορίαν τοῖς τῇδε ᾠκημένοις διέλυσεν.
ἐνταῦθα δὲ κἀν τῇ Ἀμασείᾳ τὰ πλεῖστα τῶν ἱερῶν ἀνε- 2
νεώσατο, χρόνῳ πεπονηκότα πολλῷ. μετὰ δὲ τοὺς Τρα- 3
πεζουντίων ὅρους χωρίον ἐστὶ Ῥιζαῖον ὄνομα, ὃ δὴ καιν-
ουργήσας αὐτὸς ὀχύρωμα περιβέβληκε λόγου τε καὶ
ἀκοῆς κρεῖσσον. πόλεων γὰρ τῶν Πέρσαις ὁμόρων οὐδε- 4
μιᾶς ἧσσον μεγέθους πέρι καὶ ἀσφαλείας δεδημιούργηται.
Καὶ φρούριον δὲ ᾠκοδομήσατο ἐπὶ Λαζικῆς Λοσόριον 5 B 261
ὄνομα, καὶ τοὺς ἐν τῇ χώρᾳ στενωποὺς ἐτειχίσατο, οὕσπερ

2 γένος V in marg., A] γέγονε V in contextu. 4—5 βουργουσνόης V] βουργούσνοκε A, scribendum puto: Βουργουσνόβας. 6 σισιλισίων V, σισιλισῶν hic et infra A. 10 Σχαμαλινίχων scripsi] σχιμαλινιχῶν V, cf. ae. III 6, 12. 14 εἴργασται V in contextu] πεποίηται A, γρ. καὶ πεποίηται V in marg. 21 ῥιζαῖον A] ῥιζίον V. 22 περιβέβληκε A] περιβέβληται V.

Κλεισούρας καλεῖν νενομίκασιν, ὅπως δὴ ἀποκεκλεισμένοι
6 τῆς ἐπὶ Λαζικὴν εἰσόδου οἱ πολέμιοι εἶεν. ἀλλὰ καὶ τὴν
ἐν Λαζοῖς τῶν Χριστιανῶν ἐκκλησίαν, ἀρχαίαν τε οὖσαν
καὶ σαθρὰν τῇ οἰκοδομίᾳ γεγενημένην, ἀνενεώσατο.
7 οὕτω καὶ Πέτραν ἐν Λαζοῖς πόλιν ἀξιοθέατον κατεστή-
σατο, ἥνπερ Λαζοὶ μὲν ἀβουλίᾳ τῇ σφετέρᾳ παρέδοσαν
Πέρσαις, Χοσρόην ἐνταῦθα στρατῷ μεγάλῳ ἐπαγαγόμε-
νοι, Ῥωμαῖοι δὲ Περσῶν καθυπέρτεροι τῷ πολέμῳ γενό-
μενοι καὶ τοὺς μὲν κτείναντες, τοὺς δὲ δορυαλώτους
πεποιημένοι, ἐς τὸ ἔδαφος τὴν πόλιν καθεῖλον, ὡς μὴ
αὖθις οἱ βάρβαροι κακουργεῖν ἔχοιεν ἐνταῦθα ἰόντες,
ᾗπέρ μοι ἅπαντα ἐν τοῖς ὑπὲρ τῶν πολέμων δεδήλωται
8 λόγοις· ἵνα δὴ καὶ τοῦτό μοι δεδιήγηται, ὡς ἐν τῇ ἀντι-
πέρας ἠπείρῳ ἐκ Λαζικῆς ἐπὶ τὴν Μαιῶτιν ἰόντι λίμνην
φρούρια δύο, Σεβαστούπολίν τε καὶ Πιτυοῦντα, καθεῖ-
P 63 λον Ῥωμαῖοι, Χοσρόην ἀκούσαντες στράτευμα στέλλειν
ἐνταῦθα διὰ σπουδῆς ἔχειν τούς ⟨τε⟩ τὰ φρούρια ταῦτα
9 καθέξοντας. ἀλλὰ νῦν Ἰουστινιανὸς βασιλεὺς ταύτην
δὴ τὴν Σεβαστούπολιν ἀνανεωσάμενος ξύμπασαν, καὶ
τῷ μὲν περιβόλῳ τοῖς τε ἄλλοις ὀχυρώμασι πεποιημένος
ἀνάλωτον, ταῖς δὲ ἀγυιαῖς καὶ ταῖς ἄλλαις οἰκοδομίαις
διακοσμήσας, τῷ τε κάλλει καὶ τῷ μεγέθει πόλιν τανῦν
ἀξιολογωτάτην ἐν τοῖς μάλιστα κατεστήσατο.
10 Καὶ μὴν καὶ Βοσπόρου καὶ Χερσῶνος πόλεων, αἵπερ
κατὰ τὴν ἐκείνῃ ἀκτὴν ἐπιθαλασσίδιαι μετὰ λίμνην τε
τὴν Μαιώτιδα καὶ τοὺς Ταύρους καὶ Ταυροσκύθας ἐν

12 cf. II 551, 12. 18 cf. II 500 s.

17 τούς ⟨τε⟩ scripsi] τοὺς V, cf. II 501, 3. 19 Post Σεβαστούπολιν addit A: φρούριον οὖσαν τὸ πρότερον. 20 τοῖς τε V] τε καὶ τοῖς A. 21 δὲ V] τε A. ἀγυαῖς V. 23 ἀξιολογωτάτην V. 24 πόλεων Maltr.] πόλεως codd. 26 μεώτιδα V τοὺς V] om. A.

ἐσχάτῳ οἰκοῦνται τῆς Ῥωμαίων ἀρχῆς, πεπονηκότα παν- B 262
τάπασι τὰ τείχη εὑρὼν ἐς μέγα τι κάλλους τε καὶ ἀσφα-
λείας κατεστήσατο χρῆμα. ἔνθα δὴ καὶ φρούρια πεποί- 11
ηται τό τε Ἀλούστου καλούμενον καὶ τὸ ἐν Γορζουβίταις.
διαφερόντως δὲ τὴν Βόσπορον τῷ ἐρύματι ἐκρατύνατο, 12
ἥνπερ ἐκ παλαιοῦ βεβαρβαρωμένην καὶ ὑπὸ τοῖς Οὔν-
νοις κειμένην ἐς τὸ Ῥωμαίων αὐτὸς μετήνεγκε κράτος.
ἔστι δέ τις ἐνταῦθα χώρα κατὰ τὴν παραλίαν, Δόρυ 13
ὄνομα, ἵνα δὴ ἐκ παλαιοῦ Γότθοι ᾤκηνται, οἳ Θευδερίχῳ
ἐς Ἰταλίαν ἰόντι οὐκ ἐπισπόμενοι, ἀλλ' ἐθελούσιοι αὐτοῦ
μείναντες, Ῥωμαίων καὶ εἰς ἐμὲ εἰσὶν ἔνσπονδοι· ξυν-
στρατεύουσί τε αὐτοῖς ἐπὶ πολεμίους τοὺς σφετέρους
ἰοῦσιν, ἡνίκα ἂν βασιλεῖ βουλομένῳ εἴη. ἐξικνοῦνται 14
δὲ ἐς τρισχιλίους, καὶ τά τε πολέμια ἔργα εἰσὶν ἄριστοι
τά τε ἐς τὴν γεωργίαν αὐτουργοὶ δεξιοί, καὶ φιλοξενώ-
τατοι δέ εἰσιν ἀνθρώπων ἁπάντων. αὐτὴ δὲ ἡ χώρα τὸ 15
Δόρυ τῆς μὲν γῆς ἐν ὑψηλῷ κεῖται, οὐ μέντοι οὔτε
τραχεῖα οὔτε σκληρά ἐστιν, ἀλλ' ἀγαθή τε καὶ εὔφορος
καρπῶν τῶν ἀρίστων. πόλιν μὲν οὖν ἢ φρούριον οὐδαμῆ 16
τῆς χώρας ὁ βασιλεὺς ἐδείματο ταύτης, κατείργεσθαι
περιβόλοις τισὶν οὐκ ἀνεχομένων τῶν τῇδε ἀνθρώπων,
ἀλλ' ἐν πεδίῳ ἀσμενέστατα ᾠκημένων ἀεί. ὅπῃ ποτὲ δὲ 17
τῶν ἐκείνῃ χωρίων βάσιμα εὐπετῶς τοῖς ἐπιοῦσιν ἐδόκει
εἶναι, ταύτας δὴ τειχίσμασι μακροῖς τὰς εἰσόδους περι-
βαλών, τὰς ἐκ τῆς ἐφόδου φροντίδας ἀνέστειλε Γότθοις.
ταῦτα μὲν οὖν τῇδέ πῃ ἔχει.
Πόλιν δέ τινα ἐπιθαλασσίαν οἰκοῦσι Θρᾷκες παρὰ τὴν 18
ἠιόνα τοῦ Εὐξείνου Πόντου, Ἀγχίαλον ὄνομα, ᾗσπερ ἐν

1 οἰκοῦνται V] οἰκοῦντας A. 2 τε A] om. V. 7 μετήνεγκε l] κε evanuit in V. 16 αὐτὴ l] αὐτῆι V. 17—18 οὔτε — οὔτε Dind.] οὐδὲ — οὐδὲ V.

ἐπιτηδείῳ μνησθείημεν ἄν, περιηγούμενοι τὰ ἐπὶ τῆς
19 B 263 Θράκης χωρία. ἐπεὶ δὲ τανῦν ὁ λόγος ἡμῖν διελήλυθεν
ὅσα παρὰ τὴν ἀκτὴν τοῦ Εὐξείνου πόντου δεδημιούρ-
γηται τῷ βασιλεῖ τούτῳ, οὐδέν τι χεῖρον ἀφηγήσασθαι
ἐνταῦθα τοῦ λόγου ὅσα δὴ ἐπὶ τῆς Ἀγχιάλου ταύτης
20 ἐδείματο. ἐνταῦθα οὖν πηγαὶ θερμῶν φύσει ὑδάτων
ἀναβλυστάνουσι, τῆς πόλεως οὐ πολλῷ ἄποθεν ἀπαυτο-
21 ματίζουσαι βαλανεῖα τοῖς τῇδε ἀνθρώποις· τοῦτον δὲ
τὸν χῶρον ἀτείχιστον ἐκ παλαιοῦ ὄντα ὑπερεώρων οἱ
προβεβασιλευκότες τὰ πρότερα, καίπερ ἐν γειτόνων ᾠκη-
P 64 μένων αὐτῷ βαρβαρικῶν ἐθνῶν τοσούτων τὸ πλῆθος.
22 ἐπεχωριάζόν τε αὐτῷ οἱ νενοσηκότες τὰ σώματα, μετὰ
23 κινδύνων τὴν παραψυχὴν κομιζόμενοι. τειχήρη τοίνυν
αὐτὸν ἐν τῷ παρόντι πεποιημένος Ἰουστινιανὸς βασιλεύς,
24 ἀκίνδυνον διεπράξατο σφίσι τὴν ἄκεσιν εἶναι. τὰ μὲν
οὖν γῆς τῆς ἑῴας, ἔτι μέντοι καὶ Ἀρμενίας καὶ Τζανικῆς
ὀχυρώματα καὶ τά γε ἀμφὶ τὸν Εὔξεινον πόντον, τῇδε
25 Ἰουστινιανῷ βασιλεῖ εἴργασται. ἡμῖν δὲ ἐνθένδε ἐπὶ τὰς
οἰκοδομίας ἰτέον, ἅσπερ ἐν Εὐρώπῃ τῇ ἄλλῃ πεποίηται.

B 264

ΛΟΓΟΣ Δ'.

P 65 α'. Πέλαγος μέγα νηὶ διαπλεῦσαι ἀπαρασκεύῳ μοχθη-
ρόν τε ἡγοῦμαι εἶναι καὶ κινδύνων μεγάλων ἀτεχνῶς
ἔμπλεων. ταὐτὸ δέ ἐστι τὰς Ἰουστινιανοῦ βασιλέως
2 οἰκοδομίας λόγῳ φαυλοτάτῳ διαμετρήσασθαι. ψυχῆς γὰρ
μεγέθει ὁ βασιλεὺς οὗτος τά τε ἄλλα, ὡς εἰπεῖν, ἅπαντα
P 66 καὶ τὰ ἐς τὰς οἰκοδομίας οὐδέν τι ἧσσον λόγου διαπέ-

1 ἐμνήσθημεν V, ἐ⟨πι⟩ μνησθείημεν Dind., ἐ⟨πε⟩μνήσθημεν Maltr. 6 φύσει A] φύσιν V. 10 ἐγγειτόνων V. 13 κομιζόμενοι V] κοριζόμενοι A. 14 αὐτὸν A] om. V. 17 πόντον A] καλούμενον πόντον V. 20 μέγα V] om. A. 22 τὰς V] τὰς τοῦ A.

πρακται κρείσσω. ἐν δὲ δὴ τῇ Εὐρώπῃ καὶ τὴν ὑπουρ- 3
γίαν ἐναρμόσασθαι τῷ τῆς χρείας ἀξιώματι διὰ σπουδῆς
ἔχων ἔργα οὐκ εὐδιήγητα οὐδὲ εἰς συγγραφὴν διαπεπό-
νηται πρόχειρα. γεγένηται γὰρ ἐπαξίως τῷ τε γειτονή- 4
ματι ποταμοῦ Ἴστρου καὶ τῇ ἐνθένδε διὰ τοὺς ἐγκειμέ-
νους τῇ χώρᾳ βαρβάρους ἀνάγκῃ. ἔθνη γὰρ αὐτῇ γει- 5
τονοῦντα διακεκλήρωται Οὐννικά τε καὶ Γοτθικά, καὶ
τὰ ἐν Ταύροις καὶ τὰ ἐν Σκύθαις ἀνταίρει, καὶ ὅσα
Σκλαβηνοὶ καὶ ὅσα ἄττα, εἴτε Σαυρομάτας Ἀμαξοβίους B 265
εἴτε Μετανάστας ταῦτα δὴ ἐκάλουν τὰ ἔθνη οἱ τῶν ἱστο-
ριῶν ἀναγραψάμενοι τὰ ἀρχαιότατα, καὶ εἴ τι ἄλλο θη-
ριῶδες ἀνθρώπων γένος ἢ νέμεσθαι, ἢ ἱδρῦσθαι ἐνταῦθα
ξυμβαίνει. οἷς δὴ ἀπέραντα πολεμησείουσιν ὑπαντιάζειν 6
διατεινομένῳ Ἰουστινιανῷ βασιλεῖ πάρεργόν τε οὐδὲν
ποιουμένῳ ἐπάναγκες ἦν ἐρύματά τε περιβάλλεσθαι ἀνά-
ριθμα καὶ στρατιωτῶν ἀμύθητα φυλακτήρια καταστή-
σασθαι, καὶ ὅσα ἄλλα πολεμίοις ἀνεπικηρυκεύτοις τε καὶ
ἀνεπιμίκτοις ἐμπόδια εἴη. οἷς δὴ τοῖς πολεμίοις τὸν 7
πόλεμον οὐκ ἐξ αἰτίας ἐγειρομένοις ποιεῖσθαι νόμος,
οὐδὲ μετὰ πρεσβείαν ἐπενεγκεῖν, οὐδὲ μὴν οὐδὲ ξυνθή-
καις διαλῦσαί τισιν, ἢ κατὰ χρόνον ἀνακωχεῦσαι, ἀλλ'
ἐγχειρῆσαι μὲν ἀπροφασίστως, καταλῦσαι δὲ σιδήρῳ μόνῳ.
ἀλλὰ καὶ ὡς ἐπὶ τῆς ἱστορίας τὰ λειπόμενα βαδιούμεθα.
ἔργου γὰρ ἀρξαμένους τρόπῳ ὁτῳοῦν ἐς πέρας ἀφῖχθαι 8
ξυνοίσει μᾶλλον ἢ ἀτελεύτητον ἀπολιπόντας ὀπίσω ἰέναι.

6—7 γειτονοῦντα διακεκλήρωται V] γειτονοῦσιν A. 9 ἄττα V] ἄλλα Maltr. ἄττα, εἴτε σαυρομάτας ἀμαξοβίους V, ἀνταίρει σαυρομάταις ἀμαξοβίοις A. 10 δὴ Maltr.] δὲ V. 15 περιβάλλεσθαι V] περιβαλέσθαι A. 16—17 καταστήσασθαι V] καταστήσεσθαι A. 19 ἐγειρομένοις Hoesch.] ἐγειρομένης V. 22 ἐγχειρῆσαι scripsi] ἐγχειρίσαι V 24 ἔργου γὰρ A] ἔργῳ οὖν V. ἀρξαμένους scripsi] ἀρξαμένου codd. ἀφῖχθαι V] ἀφίξεσθαι A.

9 ἐπεὶ καὶ ἄλλως ἂν οὐκ ἔξω κατηγορίας τὸ πρᾶγμα εἴη,
βασιλέα μὲν τὸν ἡμέτερον εἰργάσθαι τὰ ἔργα, ἡμᾶς δὲ
10 τοὺς ὑπὲρ αὐτῶν ἀποκνεῖν λόγους. μέλλοντας δὲ τὰ
Εὐρωπαῖα τούτου δὴ τοῦ βασιλέως διαριθμεῖσθαι οἰκο-
δομήματα, ὀλίγα ἄττα ἀμφὶ τῇδε τῇ χώρᾳ ὑπειπεῖν ἄξιον.

11 Ἐκ τοῦ Ἀδριατικοῦ καλουμένου πελάγους ἐπιρροή τις
διωθουμένη τε καὶ ἀποσαλεύουσα τῆς ἄλλης θαλάσσης
ἐπὶ τὴν ἤπειρον ἀναβαίνει, καὶ σχίζουσα τὴν γῆν ἐπὶ
πλεῖστον ποιεῖται τὸν Ἰόνιον κόλπον, ἐν δεξιᾷ μὲν Ἠπει-
ρώτας τε καὶ τὰ ἐκείνῃ ἔθνη, ἐν ἀριστερᾷ δὲ Καλαβροὺς
B 266 ἔχουσα, ἔν τε πορθμῷ ἐπὶ μακρότατον θλιβομένη περι-
12 λαμβάνει τὴν ἤπειρον σχεδόν τι πᾶσαν. καθύπερθε δὲ
ἀντιπρόσωπος τῇ θαλάσσῃ φερόμενος ποταμὸς Ἴστρος
13 γῆς τῆς Εὐρώπης νησοειδῆ τὴν γῆν τίθεται. ἐνταῦθα
οἰκοδομήματα πολλά τε καὶ ἀξιολογώτατα ὁ βασιλεὺς οὗτος
14 πεποίηται. πᾶσαν γὰρ Εὐρώπην ἐς τὸ ἀσφαλὲς τειχισά-
μενος ἀπρόσβατον κατεστήσατο βαρβάροις εἶναι, οἳ δὴ
ὑπὲρ Ἴστρου ποταμοῦ ᾤκηνται.

15 Ἀλλά μοι ἀπὸ τῆς τοῦ βασιλέως ἀρκτέον πατρίδος, ᾗ
πασῶν μάλιστα τά τε πρωτεῖα ἐν πᾶσι τοῖς ἄλλοις καὶ
16 P 67 τοῦδε τὰς ἀπαρχὰς τοῦ λόγου δοτέον. αὐτῇ γὰρ ἂν μόνῃ
ὀγκοῦσθαί τε καὶ διαθρύπτεσθαι καὶ ἀποσεμνύνεσθαι
πρέποι βασιλέα Ῥωμαίοις θρεψαμένῃ τε καὶ παρασχο-
μένῃ τοιοῦτον, οὗ δὴ τὰ ἔργα καὶ λόγῳ εἰπεῖν καὶ γραφῇ
παρακαταθέσθαι ἀμήχανον.

□ 17 Ἐν Δαρδάνοις που τοῖς Εὐρωπαίοις, οἳ δὴ μετὰ τοὺς
Ἐπιδαμνίων ὅρους ᾤκηνται, τοῦ φρουρίου ἄγχιστα, ὅπερ

2 διωθουμένη V] διορθουμένη Maltr. 10 τε V] om. A. Post ἔθνη spatium unius verbi vacuum est in V. 17 εἶναι V] om. A. 19 μοι] ι evanuit in V. 21 τε καὶ A] καὶ evanuit in V. 22 πρέποι V] πρέπει A. 25 ἀμήχανον V] ἀμήχανα A. 26 δαρδανοῖς A.

Βεδερίανα ἐπικαλεῖται, χωρίον Ταυρίσιον ὄνομα ἦν, ἔν-
θεν Ἰουστινιανὸς βασιλεὺς ὁ τῆς οἰκουμένης οἰκιστὴς
ὥρμηται. τοῦτο μὲν οὖν τὸ χωρίον ἐν βραχεῖ τειχισά- 18
μενος κατὰ τὸ τετράγωνον σχῆμα καὶ γωνίᾳ ἑκάστῃ πύρ-
γον ἐνθέμενος Τετραπυργίαν εἶναί τε καὶ καλεῖσθαι
πεποίηκε. παρ' αὐτὸ δὲ μάλιστα τὸ χωρίον πόλιν ἐπι- 19
φανεστάτην ἐδείματο, ἥνπερ Ἰουστινιανὴν ὠνόμασε Πρί-
μαν (πρώτη δὲ τοῦτο τῇ Λατίνων φωνῇ δύναται) ταῦτα
τῇ θρεψαμένῃ τροφεῖα ἐκτίνων. καίτοι Ῥωμαίους ἐχρῆν 20
ἅπαντας τοῦτο δὴ ἀλλήλοις ἐπικοινοῦσθαι τὸ ὄφλημα,
ἐπεὶ καὶ σωτῆρα ἐθρέψατο ἡ χώρα κοινὸν ἅπασιν. ἐν- 21
ταῦθα δὲ καὶ ὀχετὸν τεκτηνάμενος ὕδασι τὴν πόλιν ἀειρ- B 267
ρύτοις διεπράξατο ἐπιεικῶς πλήθειν. πολλὰ δὲ καὶ ἄλλα 22
τῷ τῆς πόλεως οἰκιστῇ ὑπέρογκά τε καὶ λόγου πολλοῦ
διαπεπόνηται ἄξια. θεοῦ μὲν τεμένη διαριθμεῖσθαι οὐ 23
ῥᾴδια, καταγώγια δὲ ἀρχόντων φράζεσθαι λόγῳ ἀμήχανα,
στοῶν μεγέθη, ἀγορῶν κάλλη, τὰς κρήνας, τὰς ἀγυιάς,
τὰ βαλανεῖα, τὰ πωλητήρια. πόλις ἁπλῶς μεγάλη καὶ 24
πολυάνθρωπος καὶ τὰ ἄλλα εὐδαίμων καὶ οἵα τῆς χώρας
ἁπάσης μητρόπολις εἶναι. εἰς ἀξιώματος γὰρ τοσόνδε
ἥκει. πρὸς δὲ καὶ τὸν Ἰλλυριῶν ἀρχιερέα διακεκλήρωται, 25
τῶν ἄλλων πόλεων αὐτῇ, ἅτε πρώτῃ τὸ μέγεθος οὔσῃ,
ἐξισταμένων. ὥστε καὶ ἀνθυπούργηκε τῷ βασιλεῖ κλέος·
ἡ μὲν γὰρ τροφίμῳ ἀποσεμνύνεται βασιλεῖ, ὁ δὲ ἀντι- 26

6 πόλιν] haec urbs hodie dicitur Ochrida. cf. Niceph. Call. XVII 28 γέρας δὲ ἐξαίσιον καὶ Ἀχριδῷ τῇ πατρίδι νέμων ὁ Ἰουστινιανὸς εἰς ἀρχιεπισκοπὴν ταύτην ἐτίμα καὶ αὐτοκέφαλον ἐκκλησίαν καθίστα πρώτην Ἰουστινιανὴν ὀνομάσας . . . sequitur castra Bederiana proxime Achridam sita fuisse. Agath. 324, 9. 18 cf. Zach. 168, 19. 21 cf. Nov. 11.

1 ταυρίσιν V, ταυρήσιον A. 1—2 ἔνθεν V] ἔνθα A. 17 ἀγυιάς Hoesch.] ἀγυὰς V. 20 μητρόπολις V] μητρόπολιν A 21 τὸν A] τῶν V.

φιλοτιμεῖται δεδημιουργηκέναι τὴν πόλιν. καί μοι ἄχρι
27 τοῦδε εἰπεῖν ἀποχρήσει. ἅπαντα γὰρ ἐς τὸ ἀκριβὲς λεπτο-
λογεῖσθαι ἀμήχανον, ἐπεὶ τῷ βασιλεῖ προσηκούσης τῆς
πόλεως ἐλασσοῦσθαι αὐτῆς ἅπαντα λόγον ἐπάναγκες.
28 Ἔτι μέντοι καὶ Βεδερίανα τὸ φρούριον ἀνοικοδομη-
σάμενος ὅλον πολλῷ ὀχυρώτερον κατεστήσατο. ἦν δέ
τις ἐν Δαρδάνοις ἐκ παλαιοῦ πόλις, ἥπερ Οὐλπιᾶνα ὠνό-
29 μαστο. ταύτης τὸν περίβολον καθελὼν ἐκ τοῦ ἐπὶ πλεῖ-
στον (ἦν γὰρ σφαλερὸς ἐς τὰ μάλιστα καὶ ὅλως ἀχρεῖος)
ἄλλα τε αὐτῇ παμπληθῆ ἐγκαλλωπίσματα ποιησάμενος,
ἔς τε τὴν νῦν μεταθέμενος εὐκοσμίαν, Σεκοῦνδαν αὐτὴν
30 Ἰουστινιανὴν ἐπωνόμασε. σεκοῦνδαν γὰρ τὴν δευτέραν
P 68 Λατῖνοι λέγουσι. καὶ ἄλλην δὲ αὐτῇ πλησίον ἐδείματο
πόλιν οὐ πρότερον οὖσαν, ἥνπερ Ἰουστινούπολιν τῷ θείῳ
31 ὁμωνύμως ἐκάλεσεν. ἀλλὰ καὶ Σαρδικῆς καὶ Ναϊσου-
B 268 πόλεως, ἔτι μέντοι Γερμανῆς τε καὶ Πανταλείας διερρω-
γότα τῷ χρόνῳ τὰ τείχη εὑρὼν οἰκοδομησάμενός τε ξὺν
32 τῷ ἀσφαλεῖ ἄμαχα τοῖς πολεμίοις διεπράξατο εἶναι. καὶ
πολίχνια δὲ τούτων δὴ μεταξὺ ἐδείματο τρία, Κρατίσκαρά
τε καὶ Κουιμέδαβα καὶ Ῥουμισίανα. οὕτω μὲν οὖν τάσδε
33 τὰς πόλεις ἐκ θεμελίων ἀνέστησε. πρόβολον δὲ ἰσχυρό-
τατον αὐτῶν τε καὶ πάσης Εὐρώπης Ἴστρον ποταμὸν
ποιεῖσθαι ἐθέλων, ἐρύμασι τοῦ ποταμοῦ τὴν ἠϊόνα περι-
βάλλει συχνοῖς, ὥσπερ μοι γεγράψεται οὐ πολλῷ ὕστε-
ρον, φυλακτήριά τε στρατιωτῶν πανταχόθι τέθειται τῆς

20 Ῥουμισίανα] cf. Forbiger, Handbuch der alten Geogr. III p. 1094. 24 cf. ae. IV 6, 15.

4 πόλεως ἐλασσοῦσθαι A] λεως ἐλασ evanuit in V. 5 Βεδερίανα Maltr.] βεδρίανα V. 9 ὅλος A. 13 Λατῖνοι λέγουσι V] καλοῦσι A. 14 Ἰουστινόπολιν A. 15—16 ναϊσσοῦ πόλεως V. 16 πανταλείας V] πανταλίας A. 20 Κουιμέδαβα = Cui me dabam? 21 δὲ V] τε A.

ἀκτῆς, ἀναχαιτίσοντα τὴν διάβασιν βεβαιότατα τοῖς τῇδε
βαρβάροις. ἀλλὰ καὶ τούτων οἱ ἐξειργασμένων, ὑπόπτως 34
ἐς τῆς ἀνθρωπείας ἐλπίδος τὸ σφαλερὸν ἔχων, λογισά-
μενός τε ὡς εἰ τοῖς πολεμίοις ὅτῳ δή ποτε τρόπῳ δια-
πορθμεύσασθαι δυνατὰ εἴη, ἐπιθήσονται ἀφυλάκτοις τὸ
παράπαν τοῖς ἀγροῖς οὖσι, καὶ ἀνθρώπους μὲν ἐξανδρα-
ποδιοῦσιν ἡβηδὸν ἅπαντας, χρήματα δὲ ληΐσονται πάντα,
οὐκ ἐπὶ κοινῆς αὐτοῖς μόνον τὴν ἀσφάλειαν ἐν τοῖς κατὰ
τὸν ποταμὸν ὀχυρώμασιν ἀπέλιπεν εἶναι, ἀλλὰ καὶ ἰδίαν
πεποίηται· οὕτω συνεχῆ τὰ ἐρύματα ἐν τοῖς χωρίοις 35
ἀπεργασάμενος ὥστε ἀγρὸς ἕκαστος ἢ φρούριον ἀποτε-
τόρνευται, ἢ τῷ τετειχισμένῳ πρόσοικός ἐστιν, ἐνταῦθά
τε κἀν τῇ Ἠπείρῳ τῇ τε νέᾳ καὶ τῇ παλαιᾷ καλουμένῃ.
οὗ δὴ καὶ πόλις αὐτῷ πεποίηται Ἰουστινιανούπολις, ἡ 36
πρότερον Ἀδριανούπολις καλουμένη.

Ἀνενεώσατο δὲ Νικόπολίν τε καὶ Φωτικὴν καὶ τὴν 37
Φοινίκην ὠνομασμένην. αἱ δύο αὗται πολίχναι, ἥ τε
Φωτικὴ καὶ ἡ Φοινίκη, ἐν τῷ χθαμαλῷ τῆς γῆς ἔκειντο,
ὕδασι περιρρεόμεναι τῇδε λιμνάζουσι. διὸ δὴ λογισά- 38
μενος Ἰουστινιανὸς βασιλεὺς εἶναι ἀμήχανα ἐπὶ στερρᾶς B 269
θεμελίων συνθήκης περιβόλους αὐταῖς ἀναστῆναι, αὐτὰς
μὲν ἐπὶ σχήματος τοῦ αὐτοῦ εἴασε, φρούρια δὲ αὐτῶν
ἀγχοτάτω ἔν τε ἀνάντει καὶ ἰσχυρῶς ὀρθίῳ ἐδείματο.
ἦν δέ τις ἐνταῦθα πόλις ἀρχαία, ὕδασιν ἐπιεικῶς κατα- 39
κορὴς οὖσα, ὀνόματός τε τῆς τοῦ χωρίου φύσεως ⟨ἀξίου
ἐπιτυχοῦσα⟩. Εὔροια γὰρ ἀνέκαθεν ὠνομάζετο. ταύτης 40
δὲ τῆς Εὐροίας οὐ πολλῷ ἄποθεν λίμνη κέχυται καὶ
νῆσος κατὰ μέσον ἀνέχει καὶ λόφος αὐτῇ ἐπανέστηκε.

4—5 διαπορθμεύσασθαι l] διαπορθμήσασθαι V. 7 ληΐσονται V] ληΐσοιντο A. 25—26 ⟨ἀξίου ἐπιτυχοῦσα⟩ addidi. 26 εὐροι- hic et infra V pr. m., A, εὐρροι- hic et infra V corr. 28 κατὰ V] om. A.

□ 41 διαλείπει δὲ ἡ λίμνη τοσοῦτον, ὅσον τινὰ ἐν εἰσόδου
42 μοίρᾳ τῇ νήσῳ λελεῖφθαι. ἔνθα δὴ βασιλεὺς τοὺς τῆς
Εὐροίας μεταβιβάσας οἰκήτορας, πόλιν ὀχυρωτάτην οἰκο-
δομησάμενος ἐτειχίσατο.

P 69 β'. Μετὰ δὲ τὴν Ἤπειρον ὅλην Αἰτωλούς τε καὶ Ἀκαρ-
νᾶνας παραδραμόντι ὅ τε Κρισαῖος ἐκδέχεται κόλπος καὶ
ὅ τε Ἰσθμὸς ἥ τε Κόρινθος καὶ τὰ ἄλλα τῆς Ἑλλάδος
χωρία. ἔνθα δὴ τῆς παρ' αὐτοῦ τὰ μάλιστα προνοίας
2 ἠξίωνται. μάλιστα ⟨δὲ⟩ πάντων θαυμάσειεν ἄν τις ὁπό-
σοις περιβόλοις ἐτειχίσατο τὴν Ῥωμαίων ἀρχήν. τῶν τε
γὰρ ἄλλων προὐνόησε πάντων καὶ οὐχ ἥκιστα τῶν ἐν
3 Θερμοπύλαις ἀνόδων. πρῶτα μὲν οὖν τὰ τείχη ἐς ὕψος
αὐτῷ ἀνέστη μέγα. ἦν γάρ, εἴ τις προσίοι, εὐπετῶς
ἁλωτὰ καὶ οὐ τετειχισμένα τὰ ὄρη, ἃ ταύτῃ ἀνέχει, ἀλλ'
4 ἀποτετριγχωμένα ἐδόκει εἶναι. οἷς δὴ καὶ διπλᾶς τὰς
ἐπάλξεις ἐντέθειται πάσας. κατὰ ταὐτὰ δὲ κἀν τῷ φρου-
ρίῳ ἐξείργασται, ὅπερ ἐνταῦθα ἐκ παλαιοῦ ἦν παρέργως
5 οὕτω πεποιημένον τοῖς πάλαι ἀνθρώποις. διαρκές τε
γὰρ αὐτῷ ὕψος ἐντέθεικε καὶ διπλοῦς τοὺς προμαχῶνας
6 πεποίηται. πρὸς ἐπὶ τούτοις δὲ καὶ ἀνύδρῳ παντάπασιν
7 B 270 ὄντι ταμιεῖον ὑετίων ὑδάτων ἐπετεχνήσατο. ἔπειτα δὲ
καὶ ἀνόδους πολλὰς ἀφυλάκτους τε καὶ ἀτειχίστους τὰ
8 πρότερα οὔσας ἐς τὸ ἀκριβὲς ἐτειχίσατο. θαυμάσειεν ἄν
τις εἰκότως τὸν Περσῶν βασιλέα, ὅτι δὴ χρόνον ἐνταῦθα
κατατρίψας πολύν, μίαν τινὰ στενὴν ἀτραπὸν εὕρατο,
καὶ ταῦτα προδοτῶν Ἑλλήνων τυχών, ὁδῶν τε ἀτειχίστων
9 ἐκείνῃ πολλῶν καὶ ἁμαξιτῶν σχεδόν τι οὐσῶν. ἥ τε γὰρ
θάλασσα τοὺς πρόποδας ἐπικλύζουσα τῶν ὀρῶν, ἀνεστο-

2 τῆς V] om. A. 6 Κρισαῖος Dind.] σκρησαῖος V pr. m. κρησσαῖος V corr., κρισσαῖος A. ἐκδέχεται Maltr.] ἐδέχετο V, 9 ⟨δὲ⟩ addidit Hoesch.] om. V. 15 ἀποτεθριγκ. Wahler., 16 ταὐτὰ Braun] ταῦτα V. 21 ὑετίων Maltr.] ὑετείων V.

μωμένας ἐκ τοῦ ἐπὶ πλεῖστον ἐποιεῖτο εἶναι τὰς ἐνθένδε
ἀνόδους, καὶ σηράγγων τε καὶ χαραδρῶν ἀδιεξόδων ἐν-
ταῦθα οὐσῶν, ἀμήχανα ἔδοξεν εἶναι τοῖς πάλαι ἀνθρώ-
ποις τειχίσμασιν ἐς τὸ ἀκριβὲς περιβαλέσθαι τὰ διῃρη-
μένα τῇ φύσει, τῇ τε πρὸς τὰ χαλεπώτατα τῶν ἔργων
ὀκνήσει ἀταλαίπωρον ἀφέμενοι τὴν ἀσφάλειαν ἐπὶ τῇ
τύχῃ κατέλιπον, ἐς τὴν ἐσομένην βαρβάροις τῆς ὁδοῦ
ἄγνοιαν ἀποθέμενοι τὰς τῆς σωτηρίας ἐλπίδας. ἐπεὶ 10
πρὸς τὴν ταλαιπωρίαν ἀπολέγοντες ἀεὶ ἄνθρωποι, τὰ
σφίσιν αὐτοῖς δυσκολώτατα δόξαντα εἶναι οὐδὲ ἄλλοις
τισὶν οἴονται ῥᾴδια ἔσεσθαι. διὸ δὴ οὐκ ἄν τις ἔτι φι- 11
λονεικοίη μὴ οὐχὶ ἀνθρώπων ἁπάντων, οἳ δὴ ἐς τὸν
πάντα αἰῶνα γεγένηνται, Ἰουστινιανὸν βασιλέα προμη-
θέστατον γεγονέναι καὶ διαφερόντως ἐπιμελέστατον, ᾧ
γε οὐδὲ θάλασσα χαλεπὴ γέγονε, γειτνιῶσά τε τοῖς ὄρεσι
καὶ περιχεομένη καὶ ἐπικλύζουσα, ἐν κλυδωνίῳ τε καὶ
ψάμμῳ ὑγρᾷ τοῖς θεμελίοις στηρίζεσθαι, καὶ τοῖς ἐναν- P 70
τιωτάτοις διαφανῶς ἐναρμόζεσθαι, ἀνθρώπων τε προσ-
χωρεῖν τέχνῃ καὶ βιαζομένοις ὑπείκειν. οὐ μέντοι οὐδὲ 12
τάς τε λόχμας καὶ νάπας ἀλλήλαις ἀνάψας, οὐδὲ τὴν
θάλασσαν τῷ ὄρει ἐναρμοσάμενος ὁ βασιλεὺς οὗτος, ὅλην
τε τὴν Ἑλλάδα περιβαλὼν τοῖς ὀχυρώμασι, κατέπαυσε
τὴν ὑπὲρ τῶν κατηκόων σπουδήν, ἀλλὰ καὶ φρούρια B 271
πολλὰ τοῦ τείχους ἐντὸς ἐτεκτήνατο, ἄξια τύχης τῆς ἀν-
θρωπείας βεβουλευμένος, ᾗ βέβαιον οὐδὲν οὐδὲ ἀκατα-
γώνιστον γίνεται. ὥστε εἰ τοῖς τείχεσι τούτοις τρόπῳ 13
ὁτῳοῦν ἢ χρόνῳ ἁλῶναι ξυμβαίη, ἐν τοῖς φρουρίοις τὰ
φυλακτήρια διασώζοιτο. καὶ μὴν καὶ σιτῶνας ἐν τῷ 14

6 ἀταλαίπωρον V] ἀταλαιπώρως Maltr. 19 μέντοι V] μέντου A. 20 ἀνάψας V] ἐνάψας A. 22 περιβαλὼν τὴν ἑλλάδα A. 24 ἐντὸς τοῦ τείχους A. 25 βέβαιον A] βέβαιον γὰρ V. 27 ξυμβαίη V] ξυμβαίνει A. 28 διασώζοιτο V] διασώζοιντο A.

ἀσφαλεῖ καὶ ὑδάτων ἔλυτρα πανταχόθι πεποίηται, στρα-
τιώτας τε φρουροὺς ἐς δισχιλίους μάλιστα τῇδε ἱδρύ-
σατο· ὃ οὐδέ τις τῶν πρώην βασιλέων πώποτε ἐκ τοῦ
15 παντὸς χρόνου πεποίηκεν. ἀφύλακτα γὰρ τὸ παράπαν
τὰ τείχη ταῦτα ἄνωθέν τε καὶ ἐς ἐμὲ ἦν, ἀγροίκων τε
τῶν ἐπιχωρίων τινὲς τῶν πολεμίων καταθεόντων μεθαρ-
μοσάμενοι τὴν δίαιταν ἐν τῷ παραυτίκα, ἐπὶ καιροῦ τε
αὐτοσχεδιάζοντες τὰ πολέμια, ἐκ περιτροπῆς ἐνταῦθα
ἐφρούρουν, ἁλώσιμοί τε τοῖς πολεμίοις ἀπειρίᾳ τοῦ ἔργου
ῥᾷστα ξὺν τῇ Ἑλλάδι ἐγίνοντο, ταύτῃ τε τῇ σμικρολογίᾳ
ἡ χώρα ἐπὶ μακρότατον ἀπέκειτο ἐπιοῦσι βαρβάροις.
16 Οὕτω μὲν Ἰουστινιανὸς βασιλεὺς τὰ ἐν Θερμοπύλαις
ἐρύματα ἐκρατύνατο. καὶ πόλεων δὲ ἁπασῶν, αἵπερ
αὐτῶν ἐκτὸς τῇ χώρᾳ ἐξικανοῦσιν οὖσαι, ξὺν ἐπιμελείᾳ
πολλῇ τείχη ᾠκοδομήσατο ἰσχυρά, ἔν τε Σάκκῳ καὶ
Ὑπάτῃ καὶ Κορακίοις καὶ Οὔννῳ καὶ Βαλέαις καὶ τῷ
17 καλουμένῳ Λεονταρίῳ. ἐν δὲ τῇ Ἡρακλείᾳ πεποίηται
τάδε. ἐξ Ἰλλυριῶν ἐς Ἑλλάδα ἰόντι, ὄρη δύο ἐπὶ μακρό-
τατον ἀλλήλοιν ὡς ἀγχοτάτω ξυνίασι, στενωπὸν ἐν βραχεῖ
ἀπεργαζόμενα τὴν μεταξὺ χώραν (κλεισούρας νενομίκασι
18 τὰ τοιαῦτα καλεῖν)· πηγὴ δὲ κατὰ μέσον κάτεισιν, ἐν μὲν
B 272 ὥρᾳ θερινῇ πότιμον ἀποβλύζουσα καὶ καθαρὸν ὕδωρ
ἀπὸ τῶν ὀρῶν, ἃ ταύτῃ ἀνέχει, ἐς ῥύακά τε ἀποκεκριμένη
19 βραχύν. ἐπειδὰν δὲ ὕοι, χειμάρρους ἐνταῦθα ἐπικυρ-
τοῦται ὑψηλός τε ὑπερφυῶς καὶ δεινῶς ἄγριος ἐπὶ πλεῖ-
στον τῶν ἐκείνῃ σκοπέλων ἀπὸ τῶν χαραδρῶν συνάγων
20 τὸ ῥεῦμα. ἐνθένδε τοῖς βαρβάροις εἰσιτητὰ ἐπί τε Θερ-

2 cf. an. 26, 31 sqq.

12 Θερμοπύλαις V] τῇ ἑλλάδι A. 17 τῇ V] om. A. 19 ἀλλή-
λοιν V] ἀλλήλοις A. ἀγχωτάτω A. 23 καθαρὸν V] γαλη-
νὸν A. 24 ὕοι V] ὕῃ A. χειμάρρους V] χείμαρος A.

μοπύλας οὐδενὶ πόνῳ ἐγίνετο καὶ τὴν ταύτῃ Ἑλλάδα.
τοῦ δὲ στενωποῦ ἐφ' ἑκάτερα δύο ἐκ παλαιοῦ ὀχυρώματα 21
ἦν, πῇ μὲν Ἡράκλεια πόλις, ἧσπερ ἐπεμνήσθην ἀρτίως,
πῇ δὲ ὁ Μυροπώλης καλούμενος, οὐκ ὀλίγῃ διεστηκὼς
χώρᾳ. ταῦτα δὲ ἄμφω τὰ ὀχυρώματα ἐν ἐρειπίοις ἐκ 22
παλαιοῦ ὄντα Ἰουστινιανὸς ἀνῳκοδομήσατο βασιλεὺς καὶ
διατειχίσματι τὸν στενωπὸν ὀχυρωτάτῳ περιβαλών, τούτῳ
τε συνάψας ὄρος ἑκάτερον τοῖς μὲν βαρβάροις τὴν δίο- P 71
δον ἀνεχαίτισε, τῷ δὲ χειμάρρῳ ἐπάναγκές ἐστι λιμνά-
ζοντι τοῦ τείχους ἐντός, εἶτα ἐφύπερθεν αὐτοῦ φερομένῳ
ὅπῃ παρατύχοι ἰέναι.
Καὶ πόλεις δὲ τῆς Ἑλλάδος ἁπάσας, αἵπερ ἐντός εἰσι 23
τῶν ἐν Θερμοπύλαις τειχῶν, ἐν τῷ βεβαίῳ κατεστήσατο
εἶναι, τοὺς περιβόλους ἀνανεωσάμενος ἅπαντας. κατερη- 24
ρίπεσαν γὰρ πολλῷ πρότερον, ἐν Κορίνθῳ μὲν σεισμῶν
ἐπιγενομένων ἐξαισίων, Ἀθήνησι δὲ καὶ Πλαταιᾶσι κἀν
τοῖς ἐπὶ Βοιωτίας χωρίοις χρόνου μὲν μήκει πεπονηκότες,
ἐπιμελησαμένου δὲ αὐτῶν οὐδενὸς τῶν πάντων ἀνθρώ-
πων. ἐπίμαχον δὲ ἢ ἀφύλακτον οὐδὲν εἴασεν, ἐπεὶ αὐτῷ 25
προεγρηγορότι τῶν κατηκόων ἔννοια γέγονεν ὡς οἱ βάρ-
βαροι καταθέοντες, ἂν οὕτω τύχῃ, τά γε ἀμφὶ Θερμο-
πύλας χωρία, ἐπειδὰν τάχιστα πύθωνται οὐδὲν αὐτοῖς
ὄφελος ἔσεσθαι ὑπερβεβηκόσι τὸ ἔρυμα τοῦτο, τειχήρους
πανταχόθι γεγενημένης τῆς ἄλλης Ἑλλάδος, ἐθελοκακή- B 273
σουσιν αὐτίκα δὴ μάλα ἐξεπιστάμενοι ὡς πολιορκεῖν
σφίσι πόλιν ἑκάστην ἐπάναγκες ἔσται. προσδοκία γὰρ 26

3—4 πῇ — πῇ Dind.] πῆ — πῆ codd. 7 ὀχυρωτάτῳ V]
ἐχυρωτάτῳ A. 14 ἀνανεωσάμενος A] ἀνανεωσαμένους V.
14—15 κατερηρίπεσαν scripsi] καταρερείπεσαν V, κατερείπεσαν A.
16 ἐπιγενομένων σεισμῶν A. 16 πλαταιᾶσι A] πλατεᾶσι V.
17 μὲν V] om. A. πεπονηκότες scripsi] πεπο|ηκόσι V, πεπονη-
κότα A. 18 ἐπιμελησαμένου Maltr.] ἐπιμελησαμένων V

μηκυνομένη ταλαιπωρεῖν οὐκ ἀνέχεται, οὐδὲ ἀναβαλλο-
μένης ὠφελείας ἐφίεται, ἀλλ' ἀποδίδοται τῆς περὶ ταῦτα
ὀκνήσεως τὴν μέλλουσαν τύχην.
27 Ταῦτα διαπεπραγμένος Ἰουστινιανὸς βασιλεύς, ἐπεὶ
τὰς ἐν Πελοποννήσῳ πόλεις ἁπάσας ἀτειχίστους ἐμάν-
θανεν εἶναι, λογισάμενος ὅτι δὴ οἱ πολὺς τετρίψεται
χρόνος, εἰ κατὰ μίαν ἐπιμελοῖτο, τὸν Ἰσθμὸν ὅλον ἐν
τῷ ἀσφαλεῖ ἐτειχίσατο, ἐπεὶ αὐτοῦ καταπεπτώκει τὰ πολλὰ
28 ἤδη. φρούριά τε ταύτῃ ἐδείματο καὶ φυλακτήρια κατε-
στήσατο. τούτῳ δὲ τῷ τρόπῳ ἄβατα τοῖς πολεμίοις
ἅπαντα πεποίηκεν εἶναι τὰ ἐν Πελοποννήσῳ χωρία, εἰ
καί τι ἐς τὸ ἐν Θερμοπύλαις ὀχύρωμα κακουργήσοιεν.
ἀλλὰ ταῦτα μὲν τῇδε κεχώρηκε.

γ'. Πόλις δὲ ἦν τις ἐπὶ Θεσσαλίας, Διοκλητιανούπολις
ὄνομα, εὐδαίμων μὲν τὸ παλαιὸν γεγενημένη, προϊόντος
δὲ τοῦ χρόνου βαρβάρων οἱ ἐπιπεσόντων καταλυθεῖσα
καὶ οἰκητόρων ἔρημος γεγονυῖα ἐπὶ μακρότατον· λίμνη
δέ τις αὐτῇ ἐν γειτόνων τυγχάνει οὖσα, ἣ Καστορία
ὠνόμασται. καὶ νῆσος κατὰ μέσον τῆς λίμνης τοῖς ὕδασι
2 περιβέβληται. μία δὲ εἰς αὐτὴν εἴσοδος ἀπὸ τῆς λίμνης
ἐν στενῷ λέλειπται, οὐ πλέον ἐς πεντεκαίδεκα διήκουσα
3 πόδας. ὄρος τε τῇ νήσῳ ἐπανέστηκεν ὑψηλὸν ἄγαν, ἥμισυ
μὲν τῇ λίμνῃ καλυπτόμενον, τῷ δὲ λειπομένῳ ἐγκείμενον.
4 διὸ δὴ ὁ βασιλεὺς οὗτος τὸν Διοκλητιανουπόλεως ὑπερ-
ιδὼν χῶρον ἅτε που διαφανῶς εὐέφοδον ὄντα καὶ πεπον-
P 72 θότα πολλῷ πρότερον ἅπερ ἐρρήθη, πόλιν ἐν τῇ νήσῳ
B 274 ὀχυρωτάτην ἐδείματο, καὶ τὸ ὄνομα, ὡς τὸ εἰκός, ἀφῆκε
5 τῇ πόλει. ἐπὶ μέντοι Ἐχιναίου τε καὶ Θηβῶν καὶ Φαρ-

1—2 ἀναβαλλομένης V] ἀναβαλλομένη A. 7 ἰσθμὸν V] πορ-
θμὸν A. 18 ἐγγειτόνων V. 20 δὲ V] δέ τις Maltr. 21 πλέον
V] πλέον ⟨ἢ⟩ Maltr. 23 λειπομένῳ V] λοιπῷ Maltr.

σάλου καὶ ἄλλων τῶν ἐπὶ Θεσσαλίας πόλεων ἁπασῶν, ἐν
αἷς Δημητριάς τέ ἐστι καὶ Μητρόπολις ὄνομα καὶ Γόμφοι
καὶ Τρίκα, τοὺς περιβόλους ἀνανεωσάμενος, ἐν τῷ ἀσφα-
λεῖ ἐκρατύνατο, χρόνῳ τε καταπεπονηκότας μακρῷ, εὐπε-
τῶς τε ἁλωτοὺς ὄντας, εἴ τις προσίοι.
Ἀλλ' ἐπεὶ ἐς Θεσσαλίαν ἀφίγμεθα, φέρε δή, τῷ λόγῳ 6
ἐπί τε τὸ ὄρος τὸ Πήλιον καὶ Πηνειὸν ποταμὸν ἴωμεν.
ῥεῖ μὲν ἐξ ὄρους τοῦ Πηλίου πρᾴῳ τῷ ῥείθρῳ ὁ Πηνειός, 7
ὡραΐζεται δὲ αὐτῷ περιρρεομένη πόλις ἡ Λάρισσα, τῆς
Φθίας ἐνταῦθα οὐκέτι οὔσης, τοῦτο δὴ τοῦ μακροῦ
χρόνου τὸ διαπόνημα. φέρεται δὲ ὁ ποταμὸς οὗτος εὖ 8
μάλα προσηνῶς ἄχρι ἐς θάλασσαν. εὔφορός τε οὖν
ἐστιν ἡ χώρα καρπῶν παντοδαπῶν καὶ ποτίμοις ὕδασι
κατακορὴς ἄγαν, ὧνπερ ὀνίνασθαι ὡς ἥκιστα εἶχον περί-
φοβοι ὄντες οἱ τῇδε ᾠκημένοι διηνεκὲς καὶ καραδοκοῦν-
τες ἀεὶ τοὺς βαρβάρους ἐγκείσεσθαι σφίσιν· ἐπεὶ οὐδαμῇ
τῶν ταύτῃ χωρίων ὀχύρωμα ἦν, ὅπῃ ἂν καταφυγόντες
σωθήσονται. ἀλλὰ καὶ Λάρισσαν καὶ Καισάρειαν, πεπο- 9
νηκότων σφίσιν ὑπεράγαν τῶν ἐρυμάτων, σχεδόν τι
ἀτειχίστους εἶναι ξυνέβαινε. βασιλεὺς δὲ Ἰουστινιανὸς 10
ἄμφω τείχη ἰσχυρότατα ποιησάμενος γνησίᾳ τὴν χώραν
εὐδαιμονίᾳ ξυνῴκισεν. οὐ πολλῷ δὲ ἄποθεν ὄρη ἀνέχει 11
ἀπόκρημνα, οὐρανομήκεσιν ἀμφιλαφῆ δένδροις· οἰκεῖα
δὲ Κενταύροις τὰ ὄρη. καὶ γέγονε Λαπίθαις ἐν τῇδε τῇ 12
χώρᾳ πρὸς τὸ Κενταύρων γένος ἡ μάχη, ὡς οἱ μῦθοι
ἡμῖν ἐκ παλαιοῦ ἰσχυρίζονται, νεανιευόμενοι γεγονέναι

1 ἐπὶ Θεσσαλίας V] ἐπιθαλασσίων A. 3 Τρίκα, τοὺς scripsi]
τρικαττοὺς codd. 7 τὸ 1 V] om. A. 13 καρπῶν ἡ χώρα A.
16 ἐγκείσεσθαι A] ἐγκεῖσθαι V. ἐπεὶ οὐδαμῇ V] οὐδαμῇ γὰρ
A. 17 ἂν A] ἂν καὶ V. 18 σωθήσωνται A. 19 σφίσιν
ὑπεράγαν V] σφίσι A. 21 τείχη ἰσχυρότατα V] τειχήρεις A.
22 ξυνώκησεν A. 23 οἰκεῖα A] οἰκία V. 26 νεανιευόμενοι
V] νεανιευσάμενοι A.

ἀνθρώπων γένος ἐν τοῖς ἄνω χρόνοις ἀλλόκοτον καὶ
13 B 275 ζώων φύσιν τινὰ δυοῖν σύμμικτον. ἀφῆκε δέ τι καὶ τῷ
μύθῳ ἐν προσηγορίᾳ μαρτύριον ὁ παλαιὸς χρόνος, φρου-
ρίου ἐν τοῖς τῇδε ὄρεσιν ὄντος. Κενταυρόπολις γὰρ τὸ
14 χωρίον καὶ εἰς ἐμὲ ὀνομάζεται. οὗπερ τὸ τεῖχος Ἰουστι-
νιανὸς βασιλεὺς καταπεπτωκὸς ἤδη σὺν Εὐρυμένῃ τῷ
φρουρίῳ ἐνταῦθά πη ὄντι καὶ ταὐτὸ πεπονθότι ἀνοικο-
15 δομησάμενος ἐκρατύνατο. πολλὰ δὲ καὶ ἄλλα φρούρια
ἐπὶ Θεσσαλίας ὁ βασιλεὺς οὗτος ἀνενεώσατο, ὧνπερ τὰ
ὀνόματα σὺν τοῖς ἐν Μακεδονίᾳ τετειχισμένοις ἐν κατα-
λόγῳ γεγράψεταί μοι οὐ πολλῷ ὕστερον.
16 Ἀλλὰ νῦν, ἵνα μηδὲν τῆς Ἑλλάδος ἀπολειφθείη μένον
ἄρρητον, ἐς Εὔβοιαν ἡμῖν τὴν νῆσον ἰτέον, ἐπεὶ Ἀθηνῶν
17 τε καὶ Μαραθῶνος ἄγχιστα ἕστηκεν. Εὔβοια τοίνυν ἡ
νῆσος ἥδε προβέβληται μὲν τῆς Ἑλλάδος εἰς θάλασσαν,
δοκεῖ δέ που ἀπενεχθῆναι, μιᾶς μὲν οὔσης τῆς γῆς πρό-
18 τερον, ἀποσχισθείσης δὲ πορθμῷ ὕστερον· ῥήγνυσι γάρ
τις τὴν ἤπειρον ἐνταῦθα τῆς θαλάσσης ἐπιρροὴ ἀμφὶ
Χαλκίδα πόλιν, ἐν στενῷ τε ξυνιοῦσα καὶ ταῖς ὄχθαις
19 ἑκατέρωθι σφιγγομένη ἐς ῥύακος εὖρος. καὶ νῆσος μὲν
τὸ ἀποτετμημένον τῆς γῆς γέγονεν· Εὔριπος δὲ ὁ πορ-
20 P 73 θμὸς ἐπωνόμασται. τοιαύτη μὲν οὖν τις ἡ Εὔβοια τυγ-
χάνει οὖσα· ζεῦγμα δὲ τῷ πορθμῷ μία τις ἐγκειμένη
ποιεῖται δοκός· ἥνπερ ἐπιτιθέντες μέν, ἡνίκα ἂν ᾖ βουλο-
μένοις σφίσιν, οἱ ἐπιχώριοι ἠπειρῶται δοκοῦσιν εἶναι καὶ
εἰς γῆν τὴν ἀντιπέρας πεζοὶ ἴασιν, ἀφαιρούμενοι δὲ ταῖς
τε ἀκάτοις διαπορθμεύονται τὸν ἀνάπλουν καὶ νησιῶται

1 ἀνθρώπων γένος V] γένος ἀνθρώπων A. 2 δυοῖν scripsi] δυεῖν codd. 4 τοῖς τῇδε V] τοῖσδε τοῖς A. 13 εὔβοιαν A] εὐβοιαν V. 14 εὔβοια A] εὐβοια V. 16 ἥδε V] om. A. 21 εὔριπος V. 22 εὔβοια A] εὐβοια V. 25 — 115, 2 ἠπειρῶται — ναυτίλλονται A] om. V.

γίνονται αὖθις, ἑνός τε ξύλου ἐπιβολῇ καὶ ἀφαιρέσει καὶ
πεζεύουσι καὶ ναυτίλλονται· * * * ἐντὸς καθειργμένην
καλοῦσι Παλλήνην. τὴν μέντοι εἴσοδον διατειχίσματι 21
τὸ παλαιὸν καταλαβόντες οἱ ἐπιχώριοι, ταύτῃ τε τὴν
ἑκατέρωθι συζεύξαντες θάλασσαν, πόλιν ἐνταῦθα ἐδεί- B 276
μαντο, ἣν πάλαι μὲν Ποτίδαιαν, τανῦν δὲ Κασάνδρειαν
ὀνομάζουσιν. οὕτω δὲ τὰς ἐνταῦθα οἰκοδομίας ὁ χρόνος 22
διέφθειρε πάσας ὥστε δὴ Οὐννικόν τι ἔθνος οὐ πολλῷ
πρότερον καταθέοντες τὰ ἐκείνῃ χωρία, ὥσπερ τι δια-
χειρίζοντες οἷόν τι πάρεργον, τό τε ξύμβαμα τοῦτο καὶ
τὴν πόλιν ἄφοβοι ἐξεῖλον, καίπερ ἐξ οὗ γεγόνασιν ἄν-
θρωποι οὐ τειχομαχήσαντες πώποτε. ἀλλὰ καὶ τοῦτο 23
Ἰουστινιανῷ βασιλεῖ γέγονε πρόφασις ἀρετήν τε καὶ
μεγαλοφροσύνην ἐνδείξασθαι. τοῖς γὰρ ξυμπίπτουσι 24
χαλεποῖς ἀντίξουν ποιούμενος ἀεὶ τὴν αὑτοῦ πρόνοιαν,
τῶν ξυμβεβηκότων τὰ πονηρότατα ταῖς ἐπιγινομέναις
ἀγαθοεργίαις εὐθὺς μεταβιβάζεται ἐς τύχην ἀμείνω. καὶ 25
Παλλήνης ἀμέλει πόλιν τε τὴν προβεβλημένην τῆς χώρας
ἁπάσης καὶ τὸ κατὰ τὴν εἴσοδον διατείχισμα τοῖς ἐπι-
βουλεύειν ἐθέλουσιν ἄμαχόν τε καὶ ἀνανταγώνιστον διε-
πράξατο διαφανῶς εἶναι. ταῦτα μὲν οὖν ἐν πράξεσιν 26
αὐτῷ ταῖς ἐπὶ Μακεδονίαν διαπεπόνηται.
Ῥεῖ δέ τις ποταμὸς Θεσσαλονίκης οὐ πολλῷ ἄποθεν, 27
Ῥήχιος ὄνομα· ὃς δὴ χώραν ἀγαθήν τε καὶ γεώδη περιερ-
χόμενος τὰς ἐκβολὰς εἰς θάλασσαν τὴν ἐκείνῃ ποιεῖται.
προσηνὴς δὲ ὁ ποταμός ἐστι, γαληνὸν τὸ ὕδωρ καὶ πό- 28
τιμον, ἡ γῆ χθαμαλή, ἀρόματα πολλά, ἕλος εὔνομον. καὶ 29
ταύτῃ μὲν εὐδαιμονίας ἡ χώρα εὖ ἔχει, βαρβάροις δὲ

2 Lacunam indicavi. 3 Παλλήνην Dind.] παλήνην V. 10 ξύμβαμα V] ξύναμμα conic. Maltr. 15 ἀντίξουν ποιούμενος l corr.] ἀντιξυμποιούμενος V, l pr. m. αὑτοῦ Hoesch.] αὐτοῦ V. 18 Παλλήνης Dind.] παλήνης V. 24 ῥήχιος A] ῥίχιος V.

λίαν εὐέφοδος οὖσα ἐτύγχανεν, οὔτε φρούριον ἐν σημείοις τεσσαράκοντα οὔτε ἄλλο τι ἔρυμα ἔχουσα. διὸ δὴ ὁ βασιλεὺς παρά τε τὰς τοῦ Ῥηχίου ποταμοῦ ἐκβολὰς καὶ B 277 τὴν τῆς θαλάσσης ἠϊόνα φρούριον ᾠκοδομήσατο ἐχυρώτατον, καινουργήσας αὐτός, ὅπερ Ἀρτεμίσιον ἐπωνόμασται.

P 74 δ'. Ὅσα δὲ καὶ ἄλλα ὀχυρώματα ἐν τῇδε τῇ τῆς Εὐρώπης πεποίηται μοίρᾳ εἰπεῖν ἄξιον. καὶ εἰ μὲν παρ' ἄλλοις ἀνθρώπων τισὶ μακράν τε ᾠκημένοις καὶ πολιτείαν ἑτέραν ἔχουσι τὸν κατάλογον ἐποιούμεθα τῶν τῇδε φρουρίων, ἅπερ Ἰουστινιανῷ βασιλεῖ εἴργασται, ἵνα δὴ ἔμελλεν ὁ λόγος ἀμάρτυρος εἶναι, εὖ οἶδ' ὅτι μυθολόγος τε ἂν τῶν ἔργων τῷ ἀριθμῷ ἔδοξεν εἶναι καὶ ἄπιστος ὅλως. 2 νῦν δὲ (ἥ τε γὰρ ὄψις οὐ μακράν που τυγχάνει οὖσα καὶ παμπληθεῖς ἄγαν οἱ ἐκεῖθεν ἐπιχωριάζοντες ἡμῖν ἄνθρωποι) φέρε δὴ νεανιευσάμενοι τὴν ἀλήθειαν ἐχέγγυον οὖσαν, ἀπαριθμησώμεθα μηδεμιᾷ ὀκνήσει τὰ ὀχυρώματα, ὅσα δὴ ἀμφὶ τὰς χώρας τάς μοι ἔναγχος δεδηλωμένας πεποίηται Ἰουστινιανὸς βασιλεύς, ἢ τὰ πεπονηκότα ἐρυμάτων ἀνανεούμενος, ἢ νέα τείχη ἐπιτεχνώμενος. 3 οὐδὲν δὲ χεῖρον ὡς ἐν καταλόγῳ ἐπελθεῖν ἅπαντα, ὡς μὴ τῶν ὀνομάτων ἐπιμιξίᾳ ὄχλος τις ἐπιγένηται τῷ λόγῳ πολύς.

Φρούρια μὲν οὖν νέα πρὸς τοῦ βασιλέως ἐν Ἠπείρῳ ⟨νέα⟩ γεγένηται τάδε·

Βουλπιανσός.
Ἐπίστερβα.
Σχημινίτης.
Ἄονα.
Στεφανιακόν.
Ἄργος.
Ἄλλουλα.
Δυρράχιν.
Ὁ ἅγιος Σαβιανός.

4—5 ἐχυρώτατον V] ὀχυρώτατον A. 5 ἀρτεμήσιον A. 6—124, 38 Ὅσα — ἐπετειχίσατο] desunt in A. 15 δὴ V] δὴ ⟨οὖν⟩ l, Hoesch. 18 γὰρ ὄψις scripsi] πάροψις V. 25 ⟨νέα⟩ addidit Hoesch.

Γέμενος.
Βακουστή.
Ἄλιστρος.
Πάταπα.
Ἐπιδοῦντα.
Βάκουστα.
Μάρτις.
Εἰρήνη. B 278
Σπερέτιον.
Ἀοιών.
Στρέδην.
Γυναικομίτης.
Λάβελλος.
Ἐπίλεον.
Πισκιναί.
Δεύφρακος.
Δολέβιν.
Ἡδονία.
Τιτιάνα.
Κιθινάς.
Οὐλίβουλα.
Βρεβατή.
Θησαυρός.

Ἀνενεώθη δὲ τάδε·

Τοῦ ἁγίου Στεφάνου.
Κεθρέων.
Ἄπις.
Πήλεον. P 75
Κώμη.

Πακούε.
Σκυθρέων πόλις.
Ἀντίπαγραι.
Τίθυρα.
Βρέβετα.
Βοῦπος.
Ἐνδύνεια.
Διόνυσος.
Τοῦ Πτωχείου.
Τυρκανός.
Κάπαξα.
Πούψαλος.
Γάβραιον.
Διόνοια.
Κλημεντιανά.
Ἰλλύριν.
Κιλικαί.
Ἀργυάς.
Θέρμα.
Ἀμάντεια.
Παρέτιον.

Ἐν δὲ Ἠπείρῳ παλαιᾷ, νέα μὲν φρούρια ἐγένοντο τάδε·

Παρμός.
Ὄλβος.
Κιόνιν.
Μαρκιανά. B 279
Ἄλγος.

19 τιτιάνα l] τητιάνα V. 27 ἄπις V.

Κείμενος.
Ξηροπόταμος.
Εὐρώπη.
Χίμαιραι.
Ἠλέγα.
Ὁμόνοια.
Ἄδανον.

Ἀνενεώθη δὲ τάδε·

Μουρκίαρα.
Κάστινα.
Γενύσιος.
Πέρκος.
Μαρμάρατα.
Λίστρια.
Πετρωνιανά.
Κάρμινα.
Τοῦ ἁγίου Σαβίνου.
Καὶ ἐν φρουρίῳ Κώμῃ κινστάρνα.
Μάρτιος.
Πέξιον.
Ὄυαλος.
Καὶ ἀπὸ Ἰουστινιανοπόλεως καὶ Φωτικῆς φρούρια δύο τοῦ ἁγίου Δονάτου.
Συμφύγιον.
Προνάθιδον.
Ἤδωνες.
Κάστελλος.
Βουλιβάς.
Πάλυρος.
Τράνα.
Ποσειδών.
Κολοφωνία.

Ἐπὶ Μακεδονίας·

Κάνδιδα.
Κολοβῶνα.
Βασιλικὰ Ἀμύντου.
Μελίχιζα.
Πασκᾶς.
Αὐλών.
Βολβός.
Βριγίζης.
Ὀπτᾶς.
Πλευρόν.
Κάμινος.
Θέρμα.
Βογᾶς.
Νεάπολις.
Κάλαρνος.
Μουσεῖον.

2 Ξηροπόταμος scripsi] ξηροπο^{τμ} V. 44 βελγιζης V, βελγιζις l, cf. It. Ant. 331, 8 et app. crit. 52 μουσεῖον l pr. m. superscr. ι, μουσεῖον V.

Ἀκρέμβα.
Ἀδριάνιον. B 280
Ἔδανα.
Σίκλαι.
Νύμφιον.
Μέτιζος.
Ἀργικιανόν.
Βάζινος.
Κασσωπᾶς.
Παρθίων.
Γεντιανόν.
Πρινίανα.
Θήστεον.
Κύρρου. P 76
Γουρασσών.
Κουμαρκίανα.
Λιμνηδήριον.
Βουρβοώδην.
Βάβας.
Κρυνίανα.
Πέλεκον.
Λάγης.
Κραταιά.
Φασκίαι.
Πλακιδιανά.
Ὑγεά.
Λιμναι.
Ὄπτιον.
Χάραδρος.
Κάσσωπες.

Ἀνενεώθη καὶ ἐπὶ Θεσσαλίας φρούρια τάδε·

Ἀλκών.
Λόσσονος.
Γεροντική.
Πέρβυλα.
Κερκινέου.
Σκιδρεοῦς.
Φράκελλαν.

Ἐπὶ Δαρδανίας δὲ πεποίηται τάδε. νέα μέν·

Λαβέριον.
Κάστιμον.
Ῥαβεστόν.
Καστέλλιον.
Ἀκρένζα.
Τεριάς.
Δροῦλλος.
Βικτωρίας.

Ἀνενεώθη δὲ τάδε·

Κεσίανα.
Τεζούλη.
Οὐσιανά. B 281
Βεσίανα.
Μασκᾶς.
Λίστη.
Κελλιριανά.

27 λιμναι V.

Ζυσβάες.
Γένζανα.
Πετρίζην.
Εὐτυχιανά.
Μουλατώ.
Βελάς.
Κάτταρος.
Καττάρηκός.
Πέντζα.
Κατταφέτερος.
Δάβανος.
Κούβινος.
Γέρματζα.
Βικτωριανά.
Ἄζετα.
Δουρβουλιανά.
Σούρικον.
Κούσινες.
Τουττιανά.
Βαλλεσιανά.
Βῆλλα.
Κατρέλατες.
Κασύελλα.
Μανίανα.
Πρισκούπερα.
Μιλετής.
Δαρδάπαρα.
Κέσουνα.
Βεριανιανά.
Λάσβαρος.
Καστελλοβρέταρα.
Ἐδετζίω.
Δίνιον.
Κέκωλα.
Ἔμαστος.
Καστελῶνα.
Καπόμαλβα.
Σέρετος.
Πτωχεῖον.
Κουινώ.
Βέρζανα.
Βεσαῖανα.
Ἄρσα.
Βλεζώ.
Λάβουτζα.
Κυίντου.
Βερμέζιον.
Κατράσεμα.
Ῥοτοῦν.
Κοβέγκιλες.
Μαρκελλιανά. P 77
Πριμονιανά.
Παμίλινος. B 282
Ἀρία.

10 κάτταφ' ἕτερος V, scribendum puto: Κάτταρος ἕτερος. 14 βικτοριανά V. 16 δουρβουλιανά l] δουρβουλ^γ V. 20 βαλλεσιανά l] βαλλεσ^ζά V. 50 κοβένκιλες V. 51 μαρκελλ^ρά V.

Ὑπὸ πόλιν Σαρδικήν·

Σκούπιον.
Στένες.
Μαρκίπετρα.
Βρίπαρον.
Ῥωμανιανά.
Στρούας.
Πρωτίανα.
Μακκουνιανά.
Σκοπέντζανα.

Ἐν δὲ τῇ Καβετζῷ χώρᾳ, νέον μὲν Βαλβαί. ἀνενεώθη δὲ τάδε·

Βυρσία.
Σταμαζώ.
Κλεσβέστιτα.
Δουΐανα.
Τούρικλα.
Μέδεκα.
Πεπλαβιός.
Κοῦναι.
Βίνεος.
Τρισκίανα.
Παρνοῦστα.
Τζίμες.
Βιδζώ.
Στενεκόρτα.
Δανεδέβαι.
Ἀρδεία.

* * *. νέα μέν·

Βουγάραμα.
Βέτζας.
Βρεγεδάβα.
Βόρβρεγα.
Τουροῦς.

Ἀνενεώθη δέ·

Σαλεβρίες.
Ἀρκοῦνες.
Δουρίες.
Βουτερίες.
Βαρβαρίες.
Ἀρβατίας.
Κουτζούσουρα.
Ἐταιρίες.
Ἰταβερίες.
Βόττες.
Βιτζιμαίας.
Βαδζιάνια.
Βάνες.
Βιμηρός. B 283
Τουσουδεάας.
Σχουάνες.
Σκεντουδίες.
Σχάρες.

31 Βουργάραμα] fortasse scribendum: Βουργάρακα cf. It. Ant. 135, 5.

Τουγουρίας.
Βεμάστες.
Στραμεντίας.
Αἴγνιος.
Ἰταδεβά.

Ὑπὸ πόλιν Γέρμεννε, νέον μὲν Σκαπλιζώ. ἀνενεώθη δέ·

Γερμάς.
Κανδαράς.
Ῥολλιγεράς.
Σκινζερίες.
Ῥιγινοκάστελλον.
Σουεγωγμένσε.

Ὑπὸ πόλιν Παυτά·

Τάρκωρον.
Σουάβαστας.
Χερδούσκερα.
Βλέβοις.
Ζεακουρίες.

Ἐν χώρᾳ Σκασσετάνᾳ·

Ἄλαρον.
Μαγιμάς.
Λουκουνάντα.
Βάλαυσον.
Βούττις.

Ὑπὸ πόλιν δὲ ... νέα μέν· P 7

Καλβεντία.
Φαράνορες.
Στραυβάστα.
Ἄλδανες.
Βαραχτέστες.
Σάρματες.
Ἄρσενα.
Βράρκεδον.
Ἐραρία.
Βερκάδιον.
Σαβινίριβες.
Τιμίανα.
Κάνδιλαρ.
Ἄρσαζα.
Βικούλεα.
Καστέλλιον. B 284
Γρόφφες.
Γάρκες.
Πίστες.
Δούσμανες.
Βράτζιστα.
Ὀλόδορις.
Κασσία.
Γράνδετον.
Οὐρβρίανα.
Νώγετο.
Γούρβικον.
Λαύτζονες.

1 τοῦ γουρίας V. 21 σκάσσετανα V.

Δουλλαρες.
Μεδίανα.
Τιούγκωνα.
Καστέλλιον.

Ἀνενεώθη δέ·

Ἔρκουλα.
Μουτζιανικάστελλον.
Βούρδωπες.
Κάλις.
Μιλλάρεκα.
Δέδβερα.
Χεσδούπαρα.

Ἐν χώρᾳ Ῥεμισιανισίᾳ·

Βρίττουρα.
Σούβαρας.
Λαμπωνίανα.
Στρόγγες.
Δάλματας.
Πριμίανα.
Φρερραρία.
Τόπερα.
Τόμες.
Κούας.
Τζερτζενούτζας.
Στένες.
Αἰάδαβα.

Δέστρεβα.
Πρετζουρίες.
Κουμούδεβα.
Δευριάς.
Λούτζολο.
Ῥεπόρδενες.
Σπέλογκα.
Σκοῦμβρο.
Βρίπαρο.
Τουλκόβουργο.
Λογγίανα.
Λουποφαντάνα.
Δαρδάπαρα.
Βουρδόμινα.
Γριγκιάπανα. B 285
Γραῖκος.
Δρασίμαρκα.

Ἐν χώρᾳ Ἀκυενισίῳ, νέον μὲν Τιμαθοχιώμ. τὰ δὲ ἀνανεωθέντα·

Πέτρες.
Σχουλκόβουργο.
Βινδιμίολα.
Βραίολα.
Ἀργανόκιλι.
Καστελλόνοβο.

35 βρι|αρο V, βρίπαρο l. 38 λουποφαντάνα V] scribendum Λουποφοντᾶνα = Lupi Fontana, Lupofontana Maltr. in indice.
46 cf. 36 Τουλκόβουργο. 50 Βραίολα] videtur idem castellum esse, cuius mentio fit infra p. 124, vers. 25.

Φλωρεντίανα.
Ῥωμυλίανα.
Σεπτέκασας.
Ἀργένταρες.
Αὐριλίανα.
Γέμβερο.
Κλέμαδες.
Τουρρίβας.
Γρίβο.
Χάλαρο.
Τζούτρατο.
Μουτζίπαρα.
Στένδας.
Σκαρίπαρα.
Ὀδρίουζο.
Κιπίπενε.
Τρασίανα.
Πότες.
Ἄμουλο.
Σέτλοτες.
Τιμακίολον.
Μερίδιο.
Μεριοπόντεδε.
Τρεδετετιλίους.
Βραίολα.
Μώτρεσες.
P 79 Βικάνοβο.
Κουαρτίανα.
Ἰουλιόβαλλαι.
Πόντζας.
Ζάνες.

ε'. Οὕτω μὲν σύμπασαν τὴν μεσόγειον Ἰουστινιανὸς βασιλεὺς ἐν Ἰλλυριοῖς ἐτειχίσατο. τρόπον δὲ ὅντινα καὶ τὴν ἠϊόνα ποταμοῦ Ἴστρου, ὃν καὶ Δανούβιον ὀνομάζουσιν, ἐρύμασί τε καὶ φυλακτηρίοις στρατιωτῶν ἐκρα- 2 B 286 τύνατο, ἐγὼ δηλώσω. οἱ Ῥωμαίων τὸ παλαιὸν αὐτοκράτορες τοῖς ἐπέκεινα ᾠκημένοις βαρβάροις τὴν τοῦ Δανουβίου διάβασιν ἀναστέλλοντες ὀχυρώμασί τε κατέλαβον τούτου δὴ τοῦ ποταμοῦ τὴν ἀκτὴν ξύμπασαν, οὐ δὴ ἐν δεξιᾷ τοῦ ποταμοῦ μόνον, ἀλλὰ καὶ αὐτοῦ ἐνιαχῇ ἐπὶ θάτερα πολίσματά τε καὶ φρούρια τῇδε δειμάμενοι. 3 ταῦτα δὲ τὰ ὀχυρώματα ἐξειργάσαντο οὐκ ἀμήχανα προσ-

8 Σεπτέκασας] scribendum: Σεπτέκασαι = Septem Casae. 25 cf. p. 123, 50. 29 ἰουλιοβάλλαι V. 33 καὶ V] om. A. 34 Δανούβιον scripsi] δάνουβιν codd., cf. I 309, 8. II 508, 12. 39 Δανουβίου Maltr.] δαννουβίου V. 40 δὴ Maltr.] τὴν V.

ελθεῖν, εἴ τις προσίοι, ἀλλ' ὅσον δὴ μὴ ἀνδρῶν ἔρημον τὴν τοῦ ποταμοῦ ἠϊόνα λελεῖφθαι· ἐπεὶ τειχομαχεῖν τοῖς ἐκείνῃ βαρβάροις οὐδαμῇ ἔγνωστο. τὰ πολλὰ τῶν ἐρυ- 4 μάτων αὐτοῖς ἀμέλει ἀπεκέκριτο ἐς πύργον ἕνα, μονοπύργιά τε, ὡς τὸ εἰκός, ἐπεκαλεῖτο, ἄνθρωποί τε ὀλίγοι κομιδῇ ἐν αὐτοῖς ἵδρυντο. καὶ τοῦτο τηνικάδε ἀπέχρη 5 τὰ τῶν βαρβάρων δεδίσσεσθαι γένη, ὥστε δὴ ἀναδύεσθαι τὴν ἐς Ῥωμαίους ἐπίθεσιν. χρόνῳ δὲ ὕστερον 6 Ἀττίλας στρατῷ μεγάλῳ ἐσβεβληκώς, τά τε ὀχυρώματα πόνῳ οὐδενὶ ἐς ἔδαφος καθεῖλε, καὶ γῆν Ῥωμαίων ὑπαντιάζοντός οἱ οὐδενὸς ἐληΐσατο τὴν πολλήν. ἀλλ' Ἰου- 7 στινιανὸς βασιλεὺς ἀνῳκοδομήσατό τε τὰ καθῃρημένα, οὐχ ᾗπερ τὰ πρότερα ἦν, ἀλλ' ἐς τοῦ ὀχυρώματος τὸ καρτερώτατον μάλιστα, καὶ πλεῖστα ἔτι ἐπετεχνήσατο καινουργήσας αὐτός. ταύτῃ τε παντάπασιν ἀνεσώσατο 8 ἀπολωλυῖαν ἤδη τὴν ἀσφάλειαν τῇ Ῥωμαίων ἀρχῇ. ἅπερ ἅπαντα ὅντινα γεγένηται τρόπον, ἐγὼ δηλώσω.

Κάτεισι μὲν ἐξ ὀρέων τῶν ἐν Κελτοῖς ποταμὸς Ἴστρος, 9 οὓς τανῦν Γάλλοι ἐπικαλοῦνται· χώραν δὲ περιβάλλει πολλήν, ἐκ μὲν τοῦ ἐπὶ πλεῖστον παντελῶς ἔρημον, ἐνιαχῇ δὲ βαρβάρους οἰκήτορας ἔχουσαν, θηριώδη τέ τινα δίαιταν ἔχοντας καὶ ἀνεπίμικτον τοῖς ἄλλοις ἀνθρώποις. B287 P80 Δακίας δὲ ὡς ἀγχοτάτω γενόμενος, ἐνταῦθα διορίζων 10 φαίνεται πρῶτον τούς τε βαρβάρους, οὓς δὴ αὐτοῦ τὰ ἐπ' ἀριστερᾷ ἔχουσι, τήν τε Ῥωμαίων γῆν ἐν δεξιᾷ οὖσαν. διὸ δὴ Ῥιπησίαν καλοῦσι Ῥωμαῖοι τὴν ταύτῃ Δακίαν· 11 ῥῖπα γὰρ ἡ ὄχθη τῇ Λατίνων καλεῖται φωνῇ. πόλιν οὖν 12

9 ἐσβεβηκὼς A. τε V] om. A. 10 πόνῳ οὐδενὶ V] σὺν οὐδενὶ πόνῳ A. 11 ἐληΐσατο Maltr.] ἐληίσαντο V. 15 ἀνεσώσατο V] ἀνενεώσατο A. 18 ὀρέων Maltr.] ὁρίων codd. 22 ἔχοντας V] ἔχουσα A. 23 ἀγχωτάτω A. 25 ἀριστερᾶ A] ἀριστερὰ V. 26 Ῥιπησίαν Hoesch.] ῥιπισίαν V.

παρὰ τὴν ἐκείνῃ ἀκτήν, ὄνομα Σιγγηδόνον, ἐν τοῖς ἄνω
13 χρόνοις ἐδείμαντο πρώτην. ταύτην δὲ βάρβαροι προϊ-
όντος τοῦ χρόνου ἑλόντες, ἔς τε τὸ ἔδαφος καθελόντες
14 εὐθύς, ἔρημον ἀνθρώπων παντάπασι κατεστήσαντο. τρό-
πῳ δὲ τῷ αὐτῷ καὶ τῶν ἄλλων ὀχυρωμάτων κατεστή-
15 σαντο τὰ πλεῖστα. βασιλεὺς δὲ Ἰουστινιανὸς ἀνανεω-
σάμενος ξύμπασαν καὶ τειχίσματι ὀχυρωτάτῳ περιβαλών,
πόλιν περιφανῆ τε καὶ λόγου πολλοῦ ἀξίαν πεποίηκεν
16 αὖθις. φρούριόν τε ἄλλο διαφερόντως ἐχυρὸν ἀνέστησε
νέον, πόλεως Σιγγηδόνου ὀκτὼ μάλιστα σημείοις διέχον,
17 ὅπερ Ὄκταβον λόγῳ τῷ εἰκότι καλοῦσιν. ἐπίπροσθεν δὲ
αὐτοῦ πόλις ἦν ἀρχαία τὸ Βιμινάκιον, ἥνπερ ὁ βασιλεὺς
(ἐκ θεμελίων γὰρ ἀπωλώλει τῶν ἐσχάτων πολλῷ πρό-
τερον) ἀνοικοδομησάμενος ξύμπασαν ἀπέδειξε νέαν.

ς'. Ἐκ δὲ Βιμινακίου προϊόντι ὀχυρώματα τρία πρὸς
τῇ τοῦ Ἴστρου ἠϊόνι ξυμβαίνει εἶναι, Πιγκοὺς τε καὶ
2 Κούπους καὶ Νοβάς. οἷς δὴ πρότερον ἥ τε οἰκοδομία
καὶ τὸ ὄνομα ἐπὶ πύργου ἑνὸς ἔκειτο. ἀλλὰ νῦν Ἰουστι-
νιανὸς βασιλεὺς τά τε οἰκία καὶ τὰ ἐρύματα ἔς τε πλῆ-
θος καὶ μέγεθος ἐν τούτοις δὴ τοῖς χωρίοις ἀνενεγκὼν
μέγα, πόλεων αὐτοῖς ἀξιώματα οὐκ ἀπὸ τοῦ εἰκότος ἐν-
3 τέθεικε. Νοβῶν δὲ καταντικρὺ ἐν τῇ ἀντιπέρας ἠπείρῳ
πύργος ἐκ παλαιοῦ ἀπημελημένος ἑστήκει, ὄνομα Λιτε-
4 ρατά· ὅνπερ οἱ πάλαι ἄνθρωποι Λεδέρατα ἐκάλουν. ὃν
B 288 δὴ ἐς φρούριον μέγα τε καὶ διαφερόντως ἐχυρώτατον
5 ὁ καθ' ἡμᾶς βασιλεὺς μετεστήσατο. μετὰ Νοβὰς δὲ

1 Σιγγηδόνον scripsi] σιγγηδὼν V. 10 πόλεως Σιγγηδόνου
scripsi] πόλεως σιγγηδονίου V, ταύτης τῆς πόλεως A. 16 πιν-
κοὺς V. 17 Κούπους] Cuppe It. Ant. 217, 7. καὶ Νοβάς.
οἷς scripsi] καινοβασαῖς V, καὶ Νοβαί. οἷς Maltr. 22 Νοβῶν
Maltr.] νωβῶν V. 26 Νοβὰς Maltr.] νωβὰς V.

φρούρια Κανταβαζά τε καὶ Σμόρνης τε καὶ Κάμψης καὶ
Τανάτα καὶ Ζέρνης καὶ Δουκεπράτου. ἐν δὲ τῇ ἀντι-
πέρας ἠπείρῳ ἄλλα τε πολλὰ φρούρια ἐκ θεμελίων [καὶ
ταῦτα] τῶν ἐσχάτων ἐδείματο. μετὰ δὲ Καπούτβοες 6
ὠνόμασται, τοῦ Ῥωμαίων αὐτοκράτορος Τραϊανοῦ ἔργον,
καὶ πολίχνιον ἐφεξῆς παλαιόν, Ζάνες ὄνομα. οἷσπερ 7
ἅπασιν ἐρύματα περιβαλὼν ἐχυρώτατα προβόλους εἶναι
τῆς πολιτείας ἀνανταγωνίστους πεποίηται. τούτου δὲ 8
τοῦ Ζάνες οὐ πολλῷ ἄποθεν φρούριον μέν ἐστι, Πόντες
ὄνομα· ὁ δὲ ποταμὸς ἐκροήν τινα ἐνταῦθα ἐκβάλλων,
ταύτῃ τε περιπολῶν ὀλίγην τινὰ τῆς ἀκτῆς μοῖραν, ἐπι-
στρέφει αὖθις ἐς ῥοῦν τὸν οἰκεῖον, καὶ ἐφ' ἑαυτὸν ἀνα-
μίγνυται. ποιεῖ δὲ ταῦτα οὐκ αὐτόματος, ἀλλ' ἀνθρώ- 9 P 81
πων ἐπινοίαις ἀναγκασθείς. ὅτου δὲ δὴ ἕνεκα Πόντες 10
τε ὁ χῶρος ἐκλήθη καὶ ἀναγκαστὸν περιάγουσιν αὐτόσε
τὸν Ἴστρον, ἐγὼ δηλώσω.

Ὁ Ῥωμαίων αὐτοκράτωρ Τραϊανός, θυμοειδής τε ὢν 11
καὶ δραστήριος, ὥσπερ ἀγανακτοῦντι ἐῴκει, ὅτι δὴ οὐκ
ἀπέραντος αὐτῷ ἡ βασιλεία εἴη, ἀλλὰ ποταμῷ Ἴστρῳ
ὁρίζεται. ζεῦξαι οὖν αὐτὸν γεφύρᾳ διὰ σπουδῆς ἔσχεν, 12
ὡς διαβατός τε αὐτῷ καὶ οὐδαμῇ ἐμπόδιος εἴη ἐς τοὺς
ἐπέκεινα βαρβάρους ἰόντι. ὅπως μὲν οὖν τὴν γέφυραν 13
ἐπήξατο ταύτην, ἐμοὶ μὲν οὐκ ἂν ἐν σπουδῇ γένοιτο,
Ἀπολλόδωρος δὲ ὁ Δαμασκηνός, ὁ καὶ παντὸς γεγονὼς
ἀρχιτέκτων τοῦ ἔργου, φραζέτω. οὐ μέντοι τις τὸ λοι- 14
πὸν γέγονεν ὄνησις ἐνθένδε Ῥωμαίοις, ἀλλὰ καὶ τὴν
γέφυραν ὅ τε Ἴστρος ἐπιχυθεὶς ὕστερον καὶ ὁ χρόνος

1 τε 2 delet Wahler. 3—4 καὶ ταῦτα V] inclusi, cf. infra
lib. VI 2, 5 et 4, 11. 4 Καπούδβοες Maltr., καὶ πουδφόσες V.
6 καὶ πολίχνιον — ὄνομα ponenda ante μετὰ δὲ (vers. 4).
10 ἐκρροήν V corr. 14 Πόντες Maltr.] πόντος codd. 16 ἴστρον
V] ἴστρον, ὃν καὶ δάνουβιν ὀνομάζουσιν A. 20 αὐτὸν A] om. V.

15 ἐπιρρεύσας καθεῖλον. πεποίηται δὲ Τραϊανὸς τότε καὶ
B 289 φρούρια δύο τοῦ ποταμοῦ ἐφ' ἑκάτερα, καὶ αὐτοῖν Θεο-
δώραν μὲν ἐπωνόμασαν τὸ ἐν τῇ ἀντιπέρας ἠπείρῳ,
Πόντες δὲ τὸ ἐπὶ Δακίας ὁμωνύμως τῷ ἔργῳ ἐκλήθη.
16 πόντην γὰρ τὴν γέφυραν Ῥωμαῖοι τῇ Λατίνων καλοῦσι
φωνῇ. ἀλλ' ἐπεὶ ἐνταῦθα γινομέναις ναυσὶν ἄπλους τὸ
λοιπὸν ὁ ποταμὸς ἦν, τῶν τῆς γεφύρας αὐτόθι ἐρειπίων
τε καὶ θεμελίων [ἐνταῦθα] κειμένων, τούτου δὴ ἕνεκα
τὸν ποταμὸν ἀναγκάζουσι μεταπορεύεσθαι τὸν αὐτοῦ
δρόμον καὶ τὴν πορείαν ἀνακυκλεῖν αὖθις, ὅπως ἂν
17 πλώϊμον καὶ τὸ ἐνθένδε αὐτὸν ἔχοιεν. ἄμφω μὲν οὖν
καταπεπονηκότα τὰ φρούρια ταῦτα διά τε χρόνου μῆκος
καὶ οὐχ ἥκιστα ἐπισκηψάντων ἐνταῦθα βαρβάρων διε-
18 φθάρθαι ξυνέβη. βασιλεὺς δὲ Ἰουστινιανὸς Πόντην μέν,
ὅπερ ἐστὶ τοῦ ποταμοῦ ἐπὶ δεξιᾷ, νέᾳ τε καὶ ἀμάχῳ ἐπι-
εικῶς ἀνανεωσάμενος οἰκοδομίᾳ, τὴν ἀσφάλειαν Ἰλλυ-
ριοῖς ἀνεσώσατο· τοῦ δὲ αὐτοῦ ἐπὶ θάτερα ὄντος, ὅπερ
Θεοδώραν καλοῦσιν, ἅτε ἀποκειμένου τοῖς ἐκείνῃ βαρ-
βάροις, προσήκειν οἱ ἐπιμελεῖσθαι οὐδαμῇ ᾤετο· τὰ δὲ
νῦν ἑστῶτα μετὰ τὴν Πόντην ὀχυρώματα ᾠκοδομήσατο
καινουργήσας αὐτός, ἅπερ καλεῖται Μαρεβούργου τε καὶ
Σουσίανα, Ἁρμάτα τε καὶ Τιμένα, καὶ Θεοδωρούπολίς
τε καὶ Στιλιβούργου καὶ Ἀλικανιβούργου.
19 Ἦν δέ τι πολίχνιον ἐγγὺς κείμενον, Ἀκυὲς ὄνομα, οὗ-
περ ὀλίγα ἄττα σαθρὰ γεγονότα ὁ βασιλεὺς ἐπηνώρθωσε.

3 ἐπωνόμασαν τὸ A] ἐπωνομάσαντο V. 4 πόντης V, πόντος A. 7 ἐρειπίων αὐτόθι A. 8 ἐνταῦθα codd.] om. Maltr. 9 αὐτοῦ codd. 11 πλώιμον V. 12 τε χρόνου V] χρόνου τε A. 13 οὐχ — βαρβάρων V] βαρβάρων ἐπίθεσιν A, γρ. καὶ βαρβάρων ἐπίθεσιν V in marg. 14 δὲ A] om. V. 15 δεξιᾷ V. 19 οἱ Maltr.] ἢ V. οὐδαμῇ V] οὐδαμῶς A. 21 Post αὐτός legimus in A: ἄλλα τε πλεῖστα, ἅπερ ἀμήχανον λόγῳ διεξελθεῖν. μαρεβούργου V] Μαρεβοῦργος Maltr.

καὶ μετ' ἐκεῖνο Βουργονόβορε καὶ Λακκόβουργο, καὶ τὸ 20
Λορτικὸν ἐπικαλούμενον φρούριον, ὅπερ τῷ χρόνῳ ἐξί-
τηλον γεγενημένον, ἐς ὀχύρωμα νῦν ἐχυρώτατον κατε-
στήσατο. καὶ πύργον ἕνα, Ἰουδαῖος καλούμενον, φρού- 21
ριον διεσκευάσατο κεκαλλιστευμένον καλεῖσθαί ⟨τε⟩ καὶ
εἶναι. καὶ τὸ δὴ Βουργουάλτου ὠνομασμένον, ἔρημόν 22
τε καὶ παντάπασιν ἀοίκητον τὰ πρότερα ὄν, ἀλλὰ καὶ B 290
χῶρον ἕτερον περιβόλῳ ἐτειχίσατο νέῳ, ὅνπερ ἐπικαλοῦσι
Γόμβες. καὶ τὸ Κρίσπας ἔρυμα καταπεπονηκὸς τῷ μήκει 23
τοῦ χρόνου, ἔτι μέντοι καὶ Λογγινιάνα καὶ Ποντεσέριον
ἐδείματο, ἔργον διαφερόντως ἐξαίσιον. ἐν δὲ Βονωνίᾳ 24
τε καὶ Νοβῷ προμαχεῶνας διερρυηκότας ἀνενεώσατο.
καὶ Ῥατιαρίας πόλεως ὅσα καταπεπτώκει, ὀρθὰ ἐστήσατο.
καὶ πολλὰ δὲ ἄλλα κατὰ τὸ χρείᾳ ξυνοῖσον ἢ βραχέα 25
κομιδῇ ὄντα ἐπὶ μέγα ἐξῆρεν, ἢ συνέστειλε τὸ περιττὸν P 82
ἀφελόμενος, ὅπως δὴ μὴ τοῖς πολεμίοις ἢ τῷ ὑπεράγαν
βραχεῖ ἢ τῷ ἀμέτρῳ εὐέφοδα εἴη, ὥσπερ ἀμέλει Μωκα-
τίανα μὲν πύργον ἕνα κατὰ μόνας τὰ πρότερα ὄντα
φρούριον τανῦν τελεώτερον κατεστήσατο. τὸ δέ γε Ἀλ- 26
μοῦ, χώραν περιβεβλημένον πολλήν, ἐς ὀλίγον ξυναγα-
γὼν σὺν τῷ ἀσφαλεῖ ἄμαχον εἶναι τοῖς πολεμίοις εἰρ-
γάσατο. καὶ πολλαχῇ δὲ πύργον ἕνα κατὰ μόνας ἑστῶτα 27
εὑρὼν καὶ διὰ τοῦτο εὐκαταφρόνητον τοῖς ἐπιοῦσιν ὄντα
φρούριον ἐχυρώτατον κατεστήσατο. ὃ δὴ περί τε Τρί- 28
κεσαν καὶ Πούτεδιν πεποίηκε. καὶ μὴν καὶ ὀχυρώματα
τοῦ ἐν Κεβρῷ τὰ καταπεπονηκότα θαυμασίως ὡς ἐπη-

2 Λορτικὸν] cf. Forbiger III 1093.

4 Ἰουδαῖος Maltr.] ἰουδαῖες V. 5 ⟨τε⟩ Maltr.] om. V. 6 δὴ Βουργουάλτου Maltr.] διβουργουάλτου V. 10 Ποντεσέριον Maltr.] πόντες ἔριον V. 11 βονωνίᾳ l] βωνονίαι V. 12 Νοβῷ scripsi] νωβῷ V. 26 Κεβρῷ] Cebro It. Ant. 220. Κεβρὸς Tab. Peut.

νώρθωσε· φρούριόν τε οὐ πρότερον ὂν ἐν Βιγραναῇ
δεδημιούργηκε, καὶ αὐτοῦ ἄγχιστα ἕτερον ἐν χωρίῳ, ἐφ'
οὗ δὴ πύργος εἷς τὰ πρότερα ὢν εἱστήκει μόνος, ὄνομα
29 Ὄνος. ἐλέλειπτο δὲ μόνα πόλεως ἐδάφη οὐ πολλῷ ἄπο-
θεν· Αὐγοῦστες ὠνομάζετο ἐν τοῖς ἄνω χρόνοις ἡ πόλις.
30 νῦν δὲ τὸ μὲν παλαιὸν ὄνομα ἔχουσα, νέα δὲ καὶ ἀκραι-
φνὴς ὅλη πρὸς Ἰουστινιανοῦ βασιλέως γεγενημένη,
31 ὁμίλῳ οἰκητόρων ἐπιεικῶς πλήθει. ἀλλὰ καὶ τὰ πεπον-
B 291 θότα τοῦ ἐν Ἀεδάβῃ ἐρύματος ἐπηνώρθωσε, καὶ Βα-
ριάνα πόλιν ἐκ παλαιοῦ κειμένην ἀνέστησεν. ἔτι μέν-
τοι καὶ Βαλεριάναν, ἔρυμα πρότερον οὐδὲν ἔχουσαν,
ἐτειχίσατο.

32 Πρὸς ἐπὶ τούτοις δὲ καὶ χωρίων οὐ παρὰ τοῦ ποτα-
μοῦ κειμένων τὴν ὄχθην, ἀλλὰ κατὰ πολὺ ἄποθεν ὄντων
ἐπεμελήσατο, πεσουμένων ἐκ τοῦ ἐπὶ πλεῖστον, τειχί-
33 σμασί τε αὐτὰ περιβέβληκεν ἀμάχοις τισί. Κάστρα Μάρ-
τις τε καὶ Ζητνουκόρτου καὶ Ἰσκὸς τὰ χωρία ἐπικαλεῖται
ταῦτα. παρὰ δὲ τοῦ ποταμοῦ τὴν ὄχθην φρούριον πα-
λαιόν, Οὔννων ὄνομα, ἐπιμελείας ἠξίωσε τά τε ἄλλα καὶ
34 ἀμφὶ τῷ περιβόλῳ πολλῆς. ἔστι δέ τις χῶρος οὐ πολλῷ
ἄποθεν τούτου δὴ τοῦ Οὔννων φρουρίου, ἔνθα δὴ ὀχυ-
ρώματα δύο Ἴστρου ποταμοῦ ἐφ' ἑκάτερα ἦν, ἐν μὲν
Ἰλλυριοῖς Παλατίολον ὄνομα, ἐπὶ θάτερα δὲ Συκίβιδα.
35 ταῦτα καθῃρημένα τῷ χρόνῳ ἀνανεωσάμενος Ἰουστινια-
νὸς βασιλεὺς τῶν ταύτῃ βαρβάρων τὰς ἐπιδρομὰς ἀνε-
χαίτισεν, ἐπέκεινά τε φρούριον ᾠκοδομήσατο, παλαιὸν
36 ἔρυμα, ὅπερ Οὔτως ὠνόμασται. ἐν ὑστάτῳ δὲ τῶν Ἰλ-
λυρικῶν ὁρίων φρούριον ἀνῳκοδομήσατο, Λαπιδαρίας

16—17 Καστράμαρτις Maltr., καὶ στραμάρτις V. 19 Οὔννων] οὔννον V, Οὔννων Maltr. 23 Παλατίολον Maltr.] παλατίοἶ V. 27 Οὔτως] οὔτως V, Uto It. Ant. 221.

ὄνομα, καὶ πύργον ἕνα ἑστῶτα μόνον, Λουκερναρια-
βούργου καλούμενον, ἐς φρούριον ἀξιοθέατον μετεστή-
σατο. ταῦτα μὲν Ἰουστινιανὸς βασιλεὺς ἐν Ἰλλυριοῖς 37
διαπέπρακται. οὐ μόναις δὲ ταῖς οἰκοδομίαις τὴν χώραν
ἐτειχίσατο ταύτην, ἀλλὰ καὶ στρατιωτῶν φρουρὰς ἐν
τοῖς ὀχυρώμασι πᾶσιν ἀξιολογωτάτας καταστησάμενος
τὰς τῶν βαρβάρων ἐπιβουλὰς ἀπεκρούσατο.

ζʹ. Τὰ μὲν οὖν Ἰλλυριῶν ὀχυρώματα παρὰ ποταμὸν P 83
Ἴστρον ταύτῃ πη ἔχει. ἐπὶ Θρᾴκης δὲ νῦν ἰτέον ἡμῖν
τὰ ἐρύματα, ὅσα δὴ παρὰ τὴν ἐκείνῃ ἀκτὴν Ἰουστινιανῷ
βασιλεῖ εἴργασται. οὐ γάρ μοι ἀπὸ τρόπου ἔδοξεν εἶναι 2 B 292
ἅπασαν πρότερον περιηγησαμένῳ τὴν ταύτῃ ἠϊόνα οὕτω
δὴ ἐπελθεῖν καὶ τὰ κατὰ τὴν μεσόγαιαν αὐτῷ πεπραγμένα.
πρῶτον μὲν οὖν ἐπὶ Μυσοὺς ἐνθένδε ἴωμεν, οὕσπερ 3
ἀγχεμάχους οἱ ποιηταὶ καλοῦσιν· ἐπεὶ καὶ χώραν τὴν
Ἰλλυριοῖς ὅμορον ἔχουσι. μετὰ τὸν χῶρον οὖν, ὅνπερ 4
Λουκερναριαβοῦργον καλοῦσι, Σεκούρισκα τὸ φρούριον
ᾠκοδομήσατο Ἰουστινιανὸς βασιλεύς, καινουργήσας αὐτός.
ἐπέκεινά τε τὰ πεπονηκότα ἐν Κυντοδήμου ἀνενεώσατο. 5
καὶ μετὰ τοῦτο πόλιν ἐδείματο οὐ πρότερον οὖσαν, ἥν-
περ ὁμωνύμως τῇ βασιλίδι Θεοδωρόπολιν ἐπωνόμασεν. ἔτι 6
μέντοι φρουρίων τοῦ τε Ἰατρῶν καλουμένου καὶ Τιγᾶς
τὰ πεπονθότα νέᾳ τινὶ διεσώσατο οἰκοδομίᾳ, καὶ τοῖς
Μαξεντίου πύργον ἐντέθεικεν, ἐπεὶ αὐτοῦ προσδεῖν ᾤετο.
καὶ τὸ Κυντῶν ἐδείματο φρούριον οὐ πρότερον ὄν. μεθ' 7

15 cf. Hom. Il. 13, 5. Strabo 7, 3. (296).

1—2 Λουκερναριαβούργου Maltr.] λουκερναρία βουργοῦ V. 11 ἀπὸ Maltr.] ἄπο V. 16 οὖν V] γοῦν A. 17 λουκερναρία βοῦργον V, λουκερναρια om. A. σεκουρίσκαν A. 21 Θεοδωράπολιν? 24 Μαξεντίου Maltr.] μαξεντίου V. 25 τὸ A] om. V. Κυντῶν] scribendum: Κυιντόν.

ὃ δὴ τὸ Τρασμαρίσκας ὀχύρωμά ἐστιν· οὗπερ καταντι-
κρὺ ἐν τῇ ἀντιπέρας ἠπείρῳ Κωνσταντῖνός ποτε Ῥω-
μαίων βασιλεὺς φρούριον οὐκ ἀπημελημένως ᾠκοδομή-
σατο, Δάφνην ὄνομα, οὐκ ἀξύμφορον νενομικὼς εἶναι
8 φυλάσσεσθαι ταύτῃ τὸν ποταμὸν ἑκατέρωθεν. ὃ δὴ προϊ-
όντος τοῦ χρόνου βάρβαροι μὲν ἀφανίζουσι τὸ παράπαν,
Ἰουστινιανὸς δὲ ἀνῳκοδομήσατο βασιλεὺς ἐκ θεμελίων
9 ἀρξάμενος. μετὰ δὲ Τρασμαρίσκαν ἔρυμά τε τὸ Ἀλτη-
νῶν, καὶ ὅπερ καλοῦσι Κανδιδιάνα, καθηρημένον πρὸς
αὐτῶν πολεμίων πολλῷ πρότερον, ἐπιμελείας ἠξίωσε
10 κατὰ λόγον τῆς χρείας. ἔστι δὲ τρία ἑξῆς ὀχυρώματα
παρὰ τὴν τοῦ Ἴστρου ἠϊόνα, Σαλτουπύργος τε καὶ Δο-
11 ρόστολος καὶ Συκιδάβα. ὧν δὴ ἑκάστου τὰ πεπονθότα
12 οὐκ ἀπημελημένως ὁ βασιλεὺς ἐπηνώρθωσε. καὶ Κού-
B 293 ηστρις δέ, ὅπερ κεῖται τῆς ἀκτῆς ἔκτοσθεν, ἐπιμέλειαν
τὴν ὁμοίαν πεποίηται. καὶ Πάλματις ἐν στενῷ κείμενον
μεῖζόν τε κατεστήσατο καὶ διαφερόντως εὐρύτερον, καί-
13 περ οὐ παρὰ τὴν ἀκτὴν τοῦ ποταμοῦ ὄν. οὗ δὴ ἄγχιστα
καὶ φρούριον Ἄδινα καινουργήσας ἐδείματο, ἐπεὶ διηνε-
κὲς διαλανθάνοντες Σκλαβηνοὶ βάρβαροι ἐνταῦθα ἐνε-
δρεύοντές τε κεκρυμμένως ἀεὶ τοὺς τῇδε ἰόντας ἄβατα
14 ἐποίουν τὰ ἐκείνῃ χωρία. καὶ φρούριον δὲ τὸ Τιλικίων
ᾠκοδομήσατο, καὶ αὐτοῦ ἐν ἀριστερᾷ κείμενον ἔρυμα.
15 Οὕτω μὲν καὶ Μυσοῖς τὰ ὀχυρώματα ἐπί τε τῆς ἀκτῆς
16 ποταμοῦ Ἴστρου ἔσχε καὶ ταύτης πλησίον. ἐπὶ Σκύθας

9 Κανδιδιάνα] cf. It. Ant. 223, 2.

1 Τρασμαρίσκας scripsi] τρασμακαρίσκας V, τρισμακαρίας A, cf. It. Ant. 223. 3—4 ἀνωικοδομίσατο V. 8 Τρασμαρίσκαν scripsi] τρασμαρίκαν V. 12 Σαλτουπύργος Maltr.] σάλτου πύργος V. 12—13 Dorostoro It. Ant. 223. 13 πεπονθότα V] πεπονηκότα A. 14—15 κούηστρις V] Κούσοοις Maltr. 20 Σκλαβηνοὶ Dind.] σκλαβῖνοι V. 22 Τιλικίων] Teglicio It. Ant. 223. 25 ποταμοῦ V] om. A.

δὲ τὸ λοιπὸν βαδιοῦμαι· ἔνθα δὴ φρούριον πρῶτον Κυ-
ρίλλου ἁγίου ἐπώνυμόν ἐστιν, οὗπερ τὰ πεπονηκότα τῷ
χρόνῳ ἀνῳκοδομήσατο οὐκ ἀπημελημένως Ἰουστινιανὸς
βασιλεύς. ἐπέκεινά τε αὐτοῦ ἦν μὲν ἐκ παλαιοῦ ὀχύρωμα, 17 P 84
Οὐλμιτῶν ὄνομα, βαρβάρων δὲ Σκλαβηνῶν ἐπὶ χρόνου
μῆκος ἐκείνῃ τὰς ἐνέδρας πεποιηκότων, διατριβήν τε
αὐτόθι ἐπὶ μακρότατον ἐσχηκότων, ἔρημόν τε παντάπασι
γέγονε, καὶ οὐδὲν αὐτοῦ ὅτι μὴ τὸ ὄνομα, ἐλέλειπτο ἔτι.
ὅλον τοίνυν ἐκ θεμελίων δειμάμενος, ἐλεύθερα τῆς τῶν 18
Σκλαβηνῶν ἐπιθέσεώς τε καὶ ἐπιβουλῆς κατεστήσατο εἶναι
τὰ ἐκείνῃ χωρία. ἔστι δέ που μετὰ τοῦτο Ἰβιδὰ πόλις, 19
ἧς δὴ τοῦ περιβόλου πολλὰ ἐπεπόνθει, ἅπερ ἀνανεωσά-
μενος οὐδεμιᾷ μελλήσει ἐχυρωτάτην διεπράξατο εἶναι.
φρούριόν τε δεδημιούργηκε νέον αὐτὸς μετ' αὐτήν, ὅπερ 20
Αἴγισσον ὀνομάζουσι. καὶ ἄλλο δὲ φρούριον Σκυθίας
ἐν ὑστάτῳ κεῖται, Ἄλμυρις ὄνομα, οὗ δὴ τὰ πολλὰ σα-
θρὰ γεγονότα διαφανῶς ἀνοικοδομησάμενος διεσώσατο.
ὅσα δὲ καὶ ἄλλα ὀχυρώματα ἐν τῇ τῆς Εὐρώπης μοίρᾳ 21
εἰπεῖν ἄξιον.

η'. Ὅσα μὲν δὴ ἔν τε Δαρδάνοις καὶ Ἠπειρώταις καὶ B 294
Μακεδόσι καὶ τοῖς ἄλλοις Ἰλλυριῶν ἔθνεσιν, ἔτι μέντοι
καὶ ὅσα ἐπί τε τῆς Ἑλλάδος, καὶ ἀμφὶ ποταμὸν Ἴστρον
οἰκοδομήματα Ἰουστινιανῷ βασιλεῖ εἴργασται, ἤδη μοι
ἔμπροσθεν δεδιήγηται. ἐπὶ τὴν Θρᾴκην δὲ τὸ λοιπὸν 2
ἴωμεν, ἀρίστην πηγνύμενοί τινα τοῦ λόγου κρηπῖδα τὰ
ἐπὶ Βυζαντίου χωρία, ἐπεὶ καὶ τῆς Θρᾴκης ἡ πόλις οὐ
τῷ κράτει μόνον, ἀλλὰ καὶ χωρίων προέστηκε φύσει, τῇ

5 Σκλαβηνῶν Dind.] σκλαβινῶν V. 9 τῆς V] τε A. 11 τοῦτο A] τοῦτον V. 13 μελήσει A. 15 αἴγισσον codd.] Aegyso It. Ant. 226. ὀνομάζουσι V] ὀνομάζεται A. 16 Ἄλμυρις] Salmorude sive Salmoride It. Ant. 226. 21 ἰλλυρίων V pr. m. corr., ἰλλυρίοις V pr. m., A.

μὲν Εὐρώπῃ ὥσπερ τις ἀκρόπολις ἐπεμβαίνουσα, φραττομένη δὲ τῆς διοριζούσης αὐτὴν ἀπὸ τῆς Ἀσίας θαλάσ-
3 σης τὸ πέρας. ἤδη μὲν οὖν τάς τε ἄλλας ἁπάσας τῆς πόλεως κτίσεις, καὶ ὅσα δὴ ἐπὶ τοῖς ἱεροῖς ἐντός τε καὶ ἐκτὸς τοῦ Κωνσταντινουπόλεως περιβόλου δεδημιούργηκεν, ἐν τοῖς ἔμπροσθεν δεδήλωκα λόγοις. τὰ δὲ δὴ ἐνθένδε ἐρῶν ἔρχομαι.

4 Φρούριόν ἐστιν ἐν προαστείῳ τῆς πόλεως, ὅπερ Στρογγύλον ὁμωνύμως τῇ τοῦ ἐρύματος συνθέσει καλοῦσιν.
5 ἐντεῦθεν ἡ ἐς τὸ Ῥήγιον ὁδὸς ἄγουσα, ἐκ τοῦ ἐπὶ πλεῖστον ἀνώμαλος οὖσα, ὄμβρων, ἂν οὕτω τύχοι, ἐπιπεσόντων, τελματώδης τε καὶ δυσπάριτος τοῖς τῇδε ἰοῦσιν
6 ἐγίνετο. νῦν δὲ λίθοις αὐτὴν καταστρώσας ἁμαξιαίοις ὁ βασιλεὺς οὗτος εὐπετῆ τε κατεστήσατο καὶ ἄπονον
7 ὅλως. μῆκος μὲν τῇ ὁδῷ τῇδε ἄχρι ἐς Ῥήγιον· εὐρύνεται δὲ τοσοῦτον, ἐς ὅσον ἁμάξας οὐ στενοχωρεῖν δύο ἀπ'
8 ἐναντίας ἀλλήλαις ἰούσας. τραχεῖς οἱ λίθοι διαφερόντως· εἰκάσαις ἂν αὐτοὺς μυλίτας εἶναι. εὐμεγέθεις τέ εἰσι μάλιστα. ὥστε δὴ ἕκαστος γῆν μὲν ἐπικαλύπτει πολ-
9 P 85 λήν, ἐς ἄγαν δὲ ὑψοῦ ἀνέχει. ἐς δὲ τό τε ὁμαλὲς καὶ τό
B 295 γε λεῖον ἐπιεικῶς ἐξειργασμένοι, οὐκ ἐνῆφθαι τῇ συνθέσει, οὐδέ πη ἐς τὸ ἀκριβὲς μεμυκέναι, ἀλλὰ συμπεφυκέναι δοκοῦσιν ἀλλήλοις. ταῦτα μὲν οὖν τοιαῦτά ἐστι.

10 Λίμνην δέ τινα εἶναι ἄγχιστα τοῦ Ῥηγίου καλουμένου ξυμβαίνει, ἐς ἣν τὰς ἐκβολὰς ἔχουσι ποταμοὶ ἐκ χωρίων
11 τῶν ὕπερθεν τῇδε φερόμενοι. διακέχυται δὲ ἡ λίμνη αὕτη μέχρι ἐς θάλασσαν· ὥστε μία τις ἀμφοτέραιν ἀκτὴ

16 cf. II p. 76, 17.

1 ἐπεμβαίνουσα V] ἐπιβαίνουσα A. 6 δὴ A] om. V. 7 ἐρῶν V] λέξων A. 14 οὗτος A] οὕτως V. τε V] om. A. 18 μυλίτας scripsi] μυλίας V, deest in A. 21—22 ξυνθέσει A.

ἐν στενῷ μάλιστα τυγχάνει οὖσα. ταύτην δὲ ἄμφω ἐπι- 12
κλύζουσι τὴν ἀκτὴν ἀντικυματοῦσαι καὶ ἀλλήλοις ἀντιμυκώμεναι. ἀεί τε ἀλλήλαις εὐθὺ ἵενται τὴν ᾐόνα ἐπικοινούμεναι. ἐπειδὰν δὲ ὡς πλησιαίτατα ἵκωνται, ἀναχαιτίζουσι τὴν ἐπιρροήν, ἐφ' ἑαυτὰς ἐπιστρέφουσαι, ὥσπερ ἐνταῦθα τὰ ὅρια σφίσι πηξάμεναι. ἔστι δὲ καὶ ἀλλήλαις 13
οὐ ἀναμίγνυνται, πορθμόν τινα μεταξὺ ἔχουσαι, ἄδηλον ὃν ὁποτέρα ποτὲ αὐτῶν τὸ τοῦ πορθμοῦ ὕδωρ διακεκλήρωται. οὔτε γὰρ ἡ τῆς θαλάσσης ἐπιρροὴ ἐς τὴν λίμνην 14
ἀεὶ φέρεται οὔτε διηνεκὲς ἐς τὴν θάλασσαν ἡ λίμνη ἐκβάλλει, ἀλλ' ὄμβρων μὲν ἐπιγενομένων πολλῶν, ἐπιπνεύσαντός τε ἀνέμου νότου, ἐκ τῆς λίμνης ὁ πορθμὸς προϊὼν φαίνεται. ἢν δὲ ἀπὸ βορρᾶ τὸ πνεῦμα ἴοι, ἡ 15
θάλασσα τὴν λίμνην ἐπικλύζειν δοκεῖ. ἐν τούτῳ μέντοι ἡ θάλασσα τῷ χώρῳ ἐς βράχος κατατείνει παμμέγεθες, ὀλίγης τινὸς ἀπολελειμμένης μεταξὺ χώρας, ἥπερ διήκει ἐς ἄβυσσον. ἐς τόσον δὲ στενὴ τυγχάνει οὖσα, ὥστε δὴ 16
καὶ Μύρμηξ ὠνόμασται. οὗτος δὲ ὁ πορθμός, ὅ τε τὴν θάλασσαν καὶ τὴν λίμνην ζευγνύων, ἧπέρ μοι εἴρηται, πάλαι μὲν γεφύρᾳ ξυλίνῃ διαβατὸς ἦν ἐπὶ κινδύνῳ μάλιστα τοῖς τῇδε ἰοῦσιν, ἐπεὶ τοῖς ξύλοις, ἂν οὕτω τύχοι, ⟨ξυν⟩διεφθείροντο· νῦν δὲ αὐτὴν Ἰουστινιανὸς βασιλεὺς 17
λίθοις λογάδην ἐμβεβλημένοις ἐς ἀψῖδος μετεωρίσας μέγα B 296
τι χρῆμα, τὴν ἐκείνῃ διάβασιν ἀκίνδυνον κατεστήσατο.

Τοῦ δὲ Ῥηγίου ἐπέκεινα πόλις ἐστί που, Ἀθύρας ὄνομα, 18
ἧσπερ τοὺς οἰκήτορας δίψῃ δεινοτάτῃ ἐχομένους εὑρὼν

4 πλησιέστατα A. ἵκωνται A] ἥκωνται V. 7 οὐ V] ὂν A. 9 ἐς τὴν λίμνην V] ἐς τὴν ᾐόνα A. 10 ἡ λίμνη A] τὴν λίμνην V. 15 παμμέγεθες A] μαμμέγεθες V. 16 μεταξὺ V] om. A. 17 τόσον δὲ στενὴ A] τοσόνδε V. 19 καὶ τὴν A] τήν τε V. ζευγνύων V] ξυνδέων A. 22 ⟨ξυν⟩διεφθείροντο scripsi] διεφθείροντο codd., cf. I 338, 23. 23 ἀψῖδος V] ἀψῖδα A.

τὴν ἀπορίαν διέλυσε σφίσιν, ἔλυτρον ἐνταῦθα δειμάμε-
νος, θησαυρίζων μὲν ἐπικαιριώτατα τὴν τῶν ὑδάτων οὐκ
ἀναγκαίαν περιουσίαν, πρυτανεύων δὲ αὐτὴν ἐν ἐπιτη-
δείῳ τοῖς τῇδε ἀνθρώποις. ἀνῳκοδομήσατο δὲ καὶ τὰ
πεπονθότα τοῦ περιβόλου.
19 Ἔστι δὲ μετὰ τὴν Ἀθύραν τις χῶρος, ὅνπερ Ἐπισκο-
20 πεῖα καλοῦσιν οἱ ἐπιχώριοι. ὃν δὴ κατανενοηκὼς Ἰου-
στινιανὸς βασιλεὺς ταῖς τῶν πολεμίων ἐπιδρομαῖς ὑπο-
κείμενον, ἐπὶ πλεῖστον δέ, ὡς οὐδαμῆ ὀχυρώματος ὄντος,
ἀφύλακτα παντάπασιν ὄντα τὰ ἐκείνῃ χωρία, φρούριον
ἐνταῦθα ἐδείματο· οὗ δὴ τοὺς πύργους πεποίηται οὐχ
21 ᾗπερ εἰώθει, ἀλλὰ τρόπῳ τοιῷδε. προὔχει τις ἐκ τοῦ
περιβόλου οἰκοδομία, στενωτάτη μὲν κατ' ἀρχὰς οὖσα,
τελευτῶσα δὲ ἐς εὖρος μέγα· ἐφ' οὗ δὴ ἕκαστος ἐξείρ-
22 γασται πύργος. ταύτῃ τε τοῖς πολεμίοις ἄγχιστά πη τοῦ
τείχους ἰέναι ἀμήχανά ἐστιν, ἐπεὶ τῶν πύργων κατὰ μέ-
P 86 σον γινόμενοι ἐν ἀμφιβόλῳ κατὰ κορυφὴν πρὸς τῶν
23 ἐκείνῃ φρουρῶν ῥᾷστα βαλλόμενοι διαφθείρονται. τάς
τε πύλας ἐνταῦθα οὐ κατὰ τὰ ξυνειθισμένα τῶν πύργων
μεταξὺ ἔθεντο, ἀλλ' ἐκ πλαγίας κατὰ τὸ ἐν στενῷ προὖχον
τοῦ τείχους, οὐχ ὁρωμένας τοῖς πολεμίοις, ἀλλ' ὄπισθεν
24 διαλανθανούσας. ἐνταῦθα Θεόδωρος βασιλεῖ τὴν ὑπουρ-
γίαν παρέσχετο, σιλεντιάριος τὴν ἀρχήν, συνετὸς μάλιστα.
25 B 297 τοῦτο μὲν οὖν τὸ ἔρυμα τῇδε πεποίηται. ἐπὶ τείχη δὲ
τὰ μακρὰ ἐνθένδε ἰόντας ὀλίγα ὑπειπεῖν ἄξιον.

θ'. Ἡ θάλασσα ἐξ ὠκεανοῦ καὶ Ἱσπανίας γῆν τὴν Εὐρωπαίαν ἐν ἀριστερᾷ ποιουμένη μέχρι μὲν ἐς Θρᾴκην

5 πεπονθότα V] πεπονηκότα A. 6 τὴν Hoesch.] τὸν codd.
8—9 ὑποκείμενον V] ἀποκείμενον A. 13 στενωτάτη Maltr.]
στενοτάτη codd. 16 ἀμήχανά V] ἀμήχανόν A. 19 πύργων
V] ἔργων A. 23 σιλεντιάριος V] σιλεντάρης A.

κατὰ ταὐτὰ χωρεῖ πρὸς ἀνίσχοντά που τὸν ἥλιον, ἔνθεν
δὲ σχιζομένη πῇ μὲν ἐπὶ τὴν ἑῴαν στέλλεται μοῖραν, πῇ
δὲ κατὰ βραχὺ ἐγκαρσία γεγενημένη τὸν Εὔξεινον καλού-
μενον ἀποτελεῖ πόντον. ἐς Βυζάντιον δὲ ἀφικομένη 2
ὥσπερ ἐπὶ νύσσης τινὸς καμπὴν ποιεῖται ἀμφὶ τὰ πρὸς
ἕω τῆς πόλεως, πλαγία τε πολλῷ ἔτι μᾶλλον γιγνομένη
ἐν πορθμῷ ἵεται, ἰσθμὸν τῆς Θρᾴκης τά τε πρόσω καὶ
ὀπίσω, ὡς τὸ εἰκός, ἐργαζομένη. οὐχ ὅτι ἐς ἐκροὰς ἐν- 3
ταῦθα ἡ θάλασσα μερίζεται δύο, ᾗπερ ἐν τοῖς ἄλλοις
ἰσθμοῖς εἴωθεν, ἀλλὰ περιστρεφομένη τε θαυμασίως ὡς
καὶ περιβαλλομένη ἑκατέρωθεν Θρᾴκην τε τὴν ἄλλην
καὶ διαφερόντως τὰ ἐπὶ Βυζαντίου προάστεια πάντα.
οἰκοδομοῦνται δὲ καὶ περιστέλλουσιν οἱ ταύτῃ ἄνθρωποι 4
τὰ προάστεια οὐχ ὅσον ἐς χρείαν, ἀλλ' ἐς ὕβριν τε καὶ
τρυφὴν ὅρον οὐκ ἔχουσαν, καὶ ὅσα ἄλλα πλούτου ἐξου-
σία ἐς τοὺς ἀνθρώπους ἰοῦσα ποιεῖ. ἔπιπλά τε κατα- 5
τίθενται ἐνταῦθα πολλὰ καὶ διαπονήματα ἐν αὐτοῖς ἐν-
δελεχέστατα ἔχουσιν· ἐπειδὰν οὖν καταθεῖν τινας τῶν
πολεμίων γῆν τὴν Ῥωμαίων ἐξαπιναίως ξυνενεχθείη,
οὐδὲν ὁμοίως τοῖς ἄλλοις χωρίοις προστρίβεσθαι τὴν
ζημίαν ἐνταῦθα ξυμβαίνει, ἀλλὰ κακοῖς ἄγαν τοῖς ἀνη-
κέστοις βαρύνεσθαι τὰ ἐκείνῃ χωρία. ὃ δὴ ἀναστέλλειν 6
Ἀναστάσιος βασιλεὺς διὰ σπουδῆς ἔχων ἐν χώροις οὐχ
ἧσσον ἢ σημείοις τεσσαράκοντα τοῦ Βυζαντίου διέχουσι
μακρὰ οἰκοδομησάμενος τείχη, ἄμφω τῆς θαλάσσης τὰς B 298

23 Euagr. III 38. Niceph. Call. XVI 39. Zonar. III 265, 16. Chron. Pasch. I 610, 7. Suid. s. v. Ἀναστάσιος.

1 ταὐτὰ scripsi] ταῦτα codd. 2 πῇ — πῇ Dind.] πῆ — πῆ
codd. 5 καμπὴν A] καμπτὴν V. 6 ἔτι μᾶλλον A] μᾶλλον
ἔτι V. γινομένη A. 8 εἰκός A] εἰκῶς V. ἐκρροὰς V.
10 περιστρεφομένη V] στρεφομένη A. 12 πάντα V] om. A.
22 χωρία V] χωρία ξυμβαίνει A.

ἀκτὰς ἔζευξεν, οὗ δὴ ἀλλήλαιν διεστήκασιν ὁδῷ ἡμέραιν
δυοῖν μάλιστα· ταύτῃ τε ἅπαντα ἐν τῷ ἐχυρῷ καθεστά-
7 ναι τὰ ἐντὸς ᾤετο. ἦν δὲ ἄρα μειζόνων τοῦτο συμφορῶν
αἴτιον. οὐδὲ γὰρ οἷόν τε ἦν οἰκοδομίαν τοσαύτην τὸ
μέγεθος ἢ ἐς τὸ ἀσφαλὲς ἐξειργάσθαι, ἢ φρουρεῖσθαι
8 P 87 ξὺν τῷ ἀκριβεῖ. ἐπειδάν τε μοίρᾳ τινὶ τούτων δὴ τῶν
μακρῶν τειχῶν ἐπισκήψαιεν οἱ πολέμιοι, καὶ τοὺς φρου-
ροὺς ἅπαντας ὑποχειρίους ἐποιοῦντο οὐδενὶ πόνῳ, τοῖς
τε ἄλλοις ἐπιπίπτοντες ἀπροσδόκητοι κακὰ οὐκ εὐδιή-
γητα ἐξειργάζοντο.
9 Ἀλλὰ βασιλεὺς τά τε πεπονθότα τούτων δὴ ἀνοικοδο-
μησάμενος τῶν τειχῶν, τά τε σφαλερὰ ἐπὶ τὸ ἐχυρώτατον
κρατυνάμενος τῶν φρουρῶν ἕνεκα, προσεπετεχνήσατο
10 τάδε. τὰς μὲν ἐξόδους, αἵπερ ἐκ πύργου ἑκάστου ἐς τοὺς
11 αὐτοῦ ἐχομένους ἐξάγουσιν, ἐφράξατο πάσας. ἄνοδον
δὲ καθ' ἕκαστον ἐκ τοῦ ἐδάφους ἔντοσθεν ἐτεκτήνατο
μίαν· ἥνπερ ἐπὶ καιροῦ καθειργνύντες οἱ ταύτῃ φρουροὶ
τοὺς πολεμίους περιφρονοῦσι τοῦ περιβόλου ἐντὸς γενο-
μένους· ἐπεὶ πύργος ἐς ἀσφάλειαν ἕκαστος αὐτὸς κατὰ
12 μόνας τοῖς φρουροῖς ἀπόχρη. καὶ τούτων δὴ τῶν τειχῶν
ἐντὸς τὰ ἐς ἀσφάλειαν ἐνδελεχέστατα διεπράξατο, τά τε
ἄλλα πεποιημένος ἧπέρ μοι ἔναγχος εἴρηται καὶ πόλεως
Σηλυβρίας ἀνανεωσάμενος ὅσα πεπονθότα τοῦ περιβόλου
13 ἐτύγχανεν. ἐπὶ μὲν οὖν τῶν μακρῶν τειχῶν ταῦτα Ἰου-
στινιανῷ βασιλεῖ εἴργασται.
14 Ἡράκλεια δὲ ἡ πόλις ἥδε, ἡ παραλία, ἡ ἐν γειτόνων,

23 Theoph. I 234, 5.

2 δυοῖν scripsi] δυεῖν codd. 3 ξυμφορῶν A. 4 οὐδὲ scripsi] οὔτε codd. 16 δὲ A] om. V. 16—17 ἐκ — μίαν V] ἐτεκτήνατο μίαν ἐκ τοῦ ἐδάφους A. 20 ἀποχρῆ V, ἀπέχρη A. 21 ἐντὸς V] om. A. 23 σηλυβρίας V] μεσημβρίας A. 26 ἐν γειτόνων A] ἐγγειτόνων V.

ἡ Πέρινθος (ᾗ πάλαι μὲν τὰ πρωτεῖα τῆς Εὐρώπης ἐδί-
δοσαν, νῦν δὲ δὴ μετά γε Κωνσταντινούπολιν τὰ δευ-
τερεῖα παρέχονται) διψῶσά τε καὶ λίαν αὐχμῶσα ἔναγχος B 299
ἔκειτο, οὐχ ὅτι ἄνυδρος ⟨ἦν⟩ ἡ ἀμφ' αὐτὴν χώρα οὐδὲ □
ὅτι ἀπημέλητο ταῦτα τοῖς ἐκ παλαιοῦ δειμαμένοις τὴν
πόλιν, ἐπεὶ καὶ κατάρρυτος Εὐρώπη ταῖς κρήναις, καὶ
ποιεῖσθαι τοῖς πάλαι ἀνθρώποις ὀχετοὺς ἔμελεν, ἀλλὰ
τὰ ξυνειθισμένα ποιῶν ὁ χρόνος τῇ πόλει τὴν ὀχεταγω-
γίαν ἀνῄρηκεν, ἢ καταγεγηρακυῖαν τὴν οἰκοδομίαν ὑπερ-
ιδών, ἢ τῷ μὴ ἐπιμελεῖσθαι τοὺς Ἡρακλεώτας αὐτῆς ἐπὶ
τὴν φθορὰν ποδηγούμενος. ὀλίγου τε ἀοίκητος διὰ
τοῦτο Ἡράκλεια ἐλέλειπτο εἶναι. ταὐτὸ δὲ τοῦτο καὶ τὰ 15
ἐκείνῃ βασίλεια ὁ χρόνος ἐποίει ἀξιοθέατα ἐπιεικῶς ὄντα.
βασιλεὺς δὲ Ἰουστινιανὸς οὐ παρέργως, ἀλλὰ βασιλικῶς 16
μάλιστα, τὴν πόλιν ἰδών, ὕδασί τε αὐτὴν ποτίμοις καὶ
διειδέσιν ἐπέκλυσε, καὶ τῶν βασιλείων ἀποστερεῖσθαι
τοῦ ἀξιώματος ὡς ἥκιστα ξυνεχώρησεν, ἀνοικοδομησά-
μενος ἅπαντα.
Ἡρακλείας δὲ ἄποθεν ἡμέρας ὁδὸν χωρίον ἐπιθαλασ- 17
σίδιον ἦν, Ῥαιδεστὸς ὄνομα, παράπλου μὲν ἐφ' Ἑλλησ-
πόντου καλῶς κείμενον, εὔλιμενον δὲ καὶ τῇ κατὰ θά-
λασσαν ἐργασίᾳ ἐπιτηδείως ἔχον τοῖς ⟨ἐπ'⟩ ἐμπορίᾳ ναυ-
τιλλομένοις καταίρειν τε καὶ ἀποφορτίζεσθαι προσηνῶς
μάλιστα, καὶ αὖ πάλιν ἀνάγεσθαι οὐδενὶ πόνῳ ἐμπλη-
σαμένοις τοῦ γόμου τὰ πλοῖα· βαρβάροις δὲ ἀποκείμενον
καταθέουσιν, ἂν οὕτω τύχῃ, ἐξαπιναίως τὰ ἐκείνῃ χωρία,
τῷ μήτε ἀποτετειχισμένον μήτε τῇ φύσει δυσπρόσοδον
εἶναι. ὥστε καὶ τοῖς ἐμπόροις δέει τοῦ κινδύνου ὑπερ- 18 P 88

1 πείρινθος A. 4 ⟨ἦν⟩ addidi. 7 τοῖς — ἀνθρώποις A] τοὺς — ἀνθρώπους V. ἔμελλεν codd. 12 δὲ V] δὴ A. 20 παράπλου Braun] παρὰ πλοῦ codd. 20—21 ἑλησπόντου V. 22 ⟨ἐπ'⟩ addidi. 26 τύχῃ V] τύχοι A. 27 τῇ V] om. A.

19 οφθὲν ἐν ὀλιγωρίᾳ ἐγένετο. νῦν δὲ βασιλεὺς Ἰουστι-
νιανὸς οὐχ ὅσον τῷ χωρίῳ τὴν ἀσφάλειαν προσεποίησεν,
20 B 300 ἀλλὰ καὶ τοὺς περιοίκους ἐσώσατο πάντας. ἐπὶ Ῥαιδε-
στοῦ γὰρ ἀνέστησε πόλιν, τείχει μὲν ἐρυμνήν, μεγέθει
21 δὲ διαφερόντως ὑπέρογκον. οὗ δὴ βαρβάρων σφίσιν ἐγ-
κειμένων οἱ πλησιόχωροι ἅπαντες εἰς καιρὸν καταφεύ-
γοντες σὺν τοῖς χρήμασι διασώζονται.

ι'. Τὰ μὲν οὖν ἐπὶ Ῥαιδεστοῦ Ἰουστινιανῷ βασιλεῖ
ταύτῃ πῃ ἔσχεν. ὅσα δὲ αὐτῷ ἀμφὶ Χερρονήσῳ δια-
2 πεπόνηται, ἐρῶν ἔρχομαι. προβέβληται μὲν πάσης ἡ
Χερρόνησος τῆς κατ' αὐτὴν Θρᾴκης. ἐπεμβαίνουσα γὰρ
τῇ θαλάσσῃ καὶ ὥσπερ ἐχομένη τοῦ πρόσω, δόκησιν
3 παρέχεται ὅτι δὴ ἐπὶ τὴν Ἀσίαν χωρεῖ. ἀκτὴ δὲ αὐτῆς
ἀμφὶ πόλιν Ἐλαιοῦντα προὔχουσα μία, σχίζει τε εἰς δύο
τὴν θάλασσαν μοίρας, καὶ αὐτὴ τῷ ῥοθίῳ ἀποτεμνομένη
τῆς ἄλλης ἠπείρου, καὶ προσιούσῃ ἐπίπροσθεν τῇ θαλάσσῃ
4 ὑποχωροῦσα, τὸν Μέλανα καλούμενον ποιεῖ κόλπον. νῆ-
σος δὲ τὸ λοιπὸν ὀλίγου δέοντος γίνεται, ὄνομα τῷ ποι-
ουμένῳ προσῆκον κτωμένη. Χερρόνησος γάρ, ὡς τὸ
εἰκός, ὀνομάζεται, ἰσθμῷ διειργομένη βραχεῖ, μὴ νῆσος
5 παντάπασιν εἶναι. κατὰ τοῦτον οἱ πάλαι ἄνθρωποι τὸν
ἰσθμὸν παρέργως τε καὶ λίαν ἀπημελημένως ἐδείμαντο
6 διατείχισμα κλίμακι ἁλωτόν. κῆπον γάρ πού τινα εἰκῇ
κείμενον αἱμασιᾷ περιβάλλειν οἰόμενοι, ἰσχνόν τε αὐτὸ
7 καὶ ὀλίγον τῆς γῆς ὑπερανεστηκὸς ἐξειργάσαντο. πρὸς
δὲ καὶ τὴν ἑκατέρωθι τοῦ ἰσθμοῦ θάλασσαν προβόλους
τεχνησάμενοι βραχεῖς τε καὶ φαύλους, οὕσπερ καλεῖν
νενομίκασι μώλους, τὴν μεταξὺ χώραν τοῦ τε ῥοθίου

6 πλησιόχωροι V] πλησίον χῶροι A. 7 ξὺν A. 9 χερρον-
νήσ- hic et infra saepius V. 18 δὲ Maltr.] τε codd. 19 κτω-
μένη V] κτωμένῳ A. χερόνησος V. γάρ A] om. V. 25 τῆς
V] om. A. ὑπερανεστηκὸς V] ἐπανεστηκὸς A.

καὶ τοῦ περιβόλου ἐφράξαντο, οὐ ταύτῃ τοὺς ἐπιβουλεύ-
σοντας ἀπωσόμενοι, ἀλλ' ἐπὶ τὰς εἰσόδους παρακαλέ-
σοντες· οὕτω δὴ αὐτὸ εὐκαταφρόνητον ἐξειργάσαντο, καὶ B 301
τοῖς ἀποπειρασομένοις εὐάλωτον. ἡγούμενοι δέ τι τοῖς 8
πολεμίοις ἄμαχον πεποιῆσθαι ὀχύρωμα, τούτου δὴ τοῦ
περιβόλου τὰ ἐντὸς ἅπαντα φυλακῆς οὐδεμιᾶς ἀξιοῦν
ἔγνωσαν, ἐπεὶ οὔτε φρούριον οὔτε ἄλλο τι ἔρυμα ἐπὶ
Χερρονήσου ξυνέβαινεν εἶναι, καίπερ ὀλίγου δέοντος ἐς
τριῶν κατατεινούσης ὁδὸν ἡμερῶν. ἔναγχος ἀμέλει γοῦν 9
οἱ πολέμιοι καταθέοντες τὰ ἐπὶ τῆς Θρᾴκης χωρία ἐγ-
κεχειρήκασι μὲν ὡς ἀποπειρασόμενοι τῆς κατὰ τὴν ἠιόνα
εἰσόδου, δεδιξάμενοι δὲ τοὺς ταύτῃ φρουροὺς ἐσπεπηδή-
κασιν ὥσπερ τι ἄθυρμα παίζοντες, ἐντός τε τοῦ περι- P 89
βόλου γεγένηνται οὐδενὶ πόνῳ.

Πολλὰ τοίνυν ἀμφὶ τῶν κατηκόων τῇ σωτηρίᾳ δια- 10
σκοπούμενος Ἰουστινιανὸς βασιλεὺς ἐποίει τάδε. πρῶτα 11
μὲν αὐτῷ ἐξίτηλον τὸ παλαιὸν γεγένηται τεῖχος, οὐδὲ
ὅσον ἴχνους οἱ ἀπολελειμμένου τινός. ἕτερον δὲ αὐτίκα 12
ἐπὶ τῆς αὐτῆς χώρας ἀνέστη, ὅπερ ἐπιεικῶς εὐρυνόμενον
ὑψοῦ ἀνέχει. ὑπεράνω τε τῶν ἐπάλξεων ἀνειλημμένη 13
θόλος ἐν στοᾶς τρόπῳ ὄροφον ποιεῖται, καλύπτουσα τοὺς
τοῦ περιβόλου ἀμυνομένους. ἄλλοι τε τῇ θόλῳ προμα- 14
χῶνες ἐγκείμενοι διπλασιάζουσι τοῖς τῇδε τειχομαχοῦσι
τὸν πόλεμον. ἔπειτα δὲ ἀμφοτέρωθι ἐς τοῦ περιβόλου 15
τὰ πέρατα πρὸς αὐταῖς που τῆς θαλάσσης ταῖς ῥαχίαις
μάλιστα, προβόλους πεποίηται, [οὓς μώλους καλοῦσιν,]

2 ἀλλ' V] ἀλλὰ A. 10—11 ἐγκεχειρίκασι A. 11 τὴν A]
om. V. 14 γεγένηνται A] γεγένηται V. 15 κατηκόων V
pr. m., A] κατοικούντων V rec. m. corr. 17 αὐτῷ V] αὐτὸ A.
οὐδ' A. 19 ἀνέστη χώρα A. 20 ὑπεράνω τε V] ὑπεράνωθεν
δὲ A. ἀνειλημμένη V] om. A. 21 καλύπτουσα V] καλύ-
πτουσαν A. 22 τῇ scripsi] τῷ codd. 26 οὓς μώλους καλοῦ-
σιν inclusi, cf. supra § 7.

ἐπὶ πλεῖστον μὲν τοῦ ῥοθίου διήκοντας, τῷ δὲ τείχει
ξυναπτομένους, ὕψους δὲ πέρι τῷ ἐρύματι ἐναμίλλους
16 ὄντας. ἀλλὰ καὶ τὴν τάφρον τοῦ περιβόλου ἔκτοσθεν
οὖσαν περικαθάρας τε καὶ κατορύξας ἐνδελεχέστατα μέγα
17 τι αὐτῇ εὔρους τε καὶ βάθους ἐντέθειται χρῆμα. καὶ
μὴν καὶ στρατιωτῶν καταλόγους ἐν τούτοις ἱδρύσατο
B 302 τοῖς μακροῖς τείχεσι πᾶσι βαρβάροις ἀντιτάξασθαι ἱκανοὺς
18 ὄντας, ἤν τι τῆς Χερρονήσου ἀποπειρῶνται. οὕτω δὲ
ταῦτα ἐν τῷ βεβαίῳ τῆς ἀσφαλείας καταστησάμενος καὶ
τοῖς ἔνδον οὐδέν τι ἧσσον ὀχυρώματα προσεποίησεν.
19 ὥστε εἰ τοῖς μακροῖς τείχεσιν (ἀπέστω δὲ τοῦ λόγου)
παθεῖν τι ξυμβαίη, οὐδέν τι ἧσσον Χερρονησιώτας ἐν
20 ἀσφαλεῖ εἶναι. πόλιν τε γὰρ Ἀφροδισιάδα ἐρύματι ἐχυ-
ρωτάτῳ περιεβάλλετο, ἀτείχιστον ἐκ τοῦ ἐπὶ πλεῖστον
τὰ πρότερα οὖσαν, καὶ Κίβεριν πόλιν, ἐπ' ἐδάφους κει-
21 μένην, τειχήρη πεποιημένος ξυνῴκισεν· ἔνθα δὴ καὶ
βαλανεῖα καὶ ξενῶνας ᾠκοδομήσατο, οἰκία τε παμπληθῆ
καὶ ὅσα ἄλλα πέφυκεν ἐπιφανῆ ἐνδείκνυσθαι πόλιν.
22 ἀλλὰ καὶ τὴν Καλλίπολιν καλουμένην βεβαιότατα ἐτει-
χίσατο, ἐλπίδι τῶν μακρῶν τειχῶν ἀτείχιστον ἀπολελειμ-
23 μένην τοῖς πρόσθεν ἀνθρώποις. οὗ δὴ καὶ σιτῶνάς τε
καὶ οἰνῶνας ἐδείματο δαπάνῃ τῇ πάσῃ τῶν ἐπὶ Χερρο-
νήσου στρατιωτῶν ἱκανῶς ἔχοντας.
24 Ἔστι δέ τις Ἀβύδου καταντικρὺ πόλις ἀρχαία, Σηστὸς
ὄνομα, καὶ αὐτὴ τὰ πρότερα παρέργως κειμένη, ὀχύρωμά
25 τε οὐδὲν ἔχουσα. λόφος δὲ αὐτῇ τις ἰσχυρῶς ἀπότομος
ἐπανέστηκεν· ἵνα δὴ φρούριον ἐδείματο ἀπρόσβατον
26 ὅλως, ἑλεῖν τε, εἴ τις ἐγχειροίη, ἀμήχανον. Σηστοῦ δὲ

5 ἐντέθειται χρῆμα V] σχῆμα ἐντέθειται A. 14 περιεβάλετο A. 15 Κίβηρις Agath. 302, 3. 19 καλλίπολιν V] καλούπολιν A. βεβαιώτατα V. 25 παρέργως τὰ πρότερα A. 26 ἰσχυρὸς A.

οὐ μακρὰν ἄποθεν τὴν Ἐλαιοῦντα ξυμβαίνει εἶναι. πέτρα
τε τῆς θαλάσσης ἀπορραγεῖσα ἐνταῦθα ἀνέχει, ἄκραν
οὐρανομήκη ἐξαίρουσα τειχήρη φύσιν. φρούριον οὖν 27
καὶ τῇδε ὁ βασιλεὺς οὗτος ἐδείματο, δυσπάριτόν τε καὶ
τοῖς προσιοῦσι παντελῶς ἄμαχον. ἀλλὰ καὶ τὸ ἐν Θεσκῷ 28
φρούριον ἐπὶ θάτερα τοῦ μακροῦ τείχους ἱδρύσατο, περι-
βόλῳ κρατυνάμενος ἐχυρῷ μάλιστα· ταύτῃ τε τοῖς Χερ- B 303
ρονησιώταις τὴν ἀσφάλειαν πανταχόθεν αὐτὸς προσε-
ποίησε.
ια'. Μετὰ δὲ Χερρόνησον Αἶνος οἰκεῖται πόλις, ἐπὶ P 90
τοῦ οἰκιστοῦ τῆς προσηγορίας ὠνομασμένη. Αἰνείας γὰρ
ἦν, ὥσπερ λέγουσιν, ὁ τοῦ Ἀγχίσου. ταύτης ὁ περίβολος 2
εὐάλωτός τε ἦν τῷ χθαμαλὸς εἶναι· οὐδὲ ὅσον γὰρ ἐς τὸ
ἀναγκαῖον ἀνεῖχεν ὕψος· καὶ ἀναπεπταμένην τινὰ εἴσο- 3
δον κατὰ τῆς θαλάσσης τὸ γειτόνημα εἶχεν, ἀμηγέπῃ ἐπι-
ψαύοντος αὐτοῦ τοῦ ῥοθίου. ἀλλὰ βασιλεὺς Ἰουστινια- 4
νὸς ἀνέστησε μὲν αὐτὸν ἐς ὕψος, μὴ ὅτι ἁλῶναι, ἀλλὰ
καὶ ἀποπειρᾶσθαι ἀμήχανον. ἐπεξαγαγὼν δὲ καὶ παν- 5
ταχόσε φραξάμενος ἀνάλωτον Αἶνον παντάπασι κατεστή-
σατο. καὶ ταύτῃ μὲν ἡ πόλις ἐν τῷ ἀσφαλεῖ ἐγεγόνει· 6
ἔμεινε δὲ τοῖς βαρβάροις ἡ χώρα καταθεῖν εὐπετής· ἐπεὶ
Ῥοδόπη ὀχυρωμάτων ἐκ παλαιοῦ ὑπεσπάνιζεν. ἦν δέ τις 7
κώμη ἐν τῇ μεσογείᾳ, Βέλλουρος ὄνομα, πλούτου μὲν
δυνάμει καὶ πολυανθρωπίᾳ ἴσα καὶ πόλις, τῷ μέντοι
τειχήρης οὐδαμῇ εἶναι ληϊζομένοις διηνεκὲς ἐπαρκοῦσα
βαρβάροις, ἀγροῖς τε τοῖς ἀμφ' αὐτὴν κειμένοις πολλοῖς
γε οὖσι ταὐτὸ πάσχουσα. καὶ αὐτὴν δὲ ὁ βασιλεὺς οὗτος 8

10—11 cf. Verg. Aen. 3, 18.

5 Θῆσκος scribit Agath. 302, 3. 21 βαρβάροις V] βάροις A. 23 βέλλουρος V] βέλλουλος A.

□ πολίζει τε καὶ ἀποτειχίζει, καὶ αὐτοῦ ἐπαξίαν τίθεται
9 εἶναι. καὶ μὴν καὶ ἄλλων τῶν ἐπὶ Ῥοδόπης πόλεων ὅσα
δὴ ἐνδεῖν ἢ καταπεπονηκέναι ξυνηνέχθη τῷ χρόνῳ σπουδῇ
10 τῇ πάσῃ ἀνέστησεν. ἐν αἷς Τραϊανούπολίς τε καὶ Μαξι-
μιανούπολίς εἰσιν, ὥνπερ ἐπηνώρθωσε τὰ ἐν τοῖς προ-
βόλοις σαθρὰ γεγονότα. ταῦτα μὲν οὖν τῇδε πεποίηται.
11 Ἀναστασιούπολις δὲ ἡ τῇδε οὖσα τειχήρης μὲν καὶ
B 304 πρότερον ἦν, ἐν δὲ τῇ παραλίᾳ κειμένη ἀφύλακτον εἶχε
τὴν ταύτῃ ἠϊόνα. τὰ πλοῖα πολλάκις ἀμέλει ἐνταῦθα
καταίροντα ὑποχείρια βαρβάροις Οὔννοις ἐξαπιναίως
γεγένηται· ὥστε καὶ τὰς νήσους ἐνθένδε τὰς τῇ χώρᾳ
12 ἐπικειμένας ἠνώχλησαν. Ἰουστινιανὸς δὲ βασιλεὺς δια-
τειχίσματι τὴν παραλίαν περιβαλὼν ὅλην, ταῖς τε ναυσὶ
13 καὶ τοῖς νησιώταις τὴν ἀσφάλειαν ἀνεσώσατο. ἀλλὰ καὶ
τὸν τοῦ ὕδατος ὀχετὸν ἐκ τῶν ὀρῶν, ἃ ταύτῃ ἀνέχει,
14 μέχρι ἐς τὴν πόλιν ⟨ἐς⟩ ὑπέρογκον ἀνέστησεν ὕψος. ἔστι
δέ τις ἐν Ῥοδόπῃ πόλις ἀρχαία, Τόπερος ὄνομα, ἣ ποτα-
μοῦ μὲν ῥεῖθρα περιβάλλεται ἐκ τοῦ ἐπὶ πλεῖστον, λόφον
δὲ αὐτῇ ἐπανεστηκότα ὄρθιον εἶχεν. ἀφ' οὗ δὴ οὐ πολλῷ
15 ἔμπροσθεν Σκλαβηνοῖς βαρβάροις ἑάλω. ἀλλὰ βασιλεὺς
Ἰουστινιανὸς μέγα τῷ περιβόλῳ ὕψος ἐντέθεικεν· ὥστε
ὑπεραίρει τοσούτῳ τὸν λόφον, ὅσῳ δὴ αὐτοῦ καταδε-
16 έστερος τὰ πρότερα ἦν. καὶ στοὰν μὲν ἐπανέστησεν ἐν
P 91 θολωτῷ τείχει, ὅθεν δὴ τοῖς τειχομαχοῦσιν οἱ τῆς πό-
λεως ἀμυνόμενοι ἐκ τοῦ ἀσφαλοῦς διαμάχονται, τῶν δὲ
πύργων ἕκαστον φρούριον ἐρυμνὸν ἐσκευάσατο εἶναι.
17 ἀλλὰ καὶ τὰ ἐκ τοῦ περιβόλου μέχρι ἐς τὸν ποταμὸν δια-

17 cf. II 468, 23, ubi Procopius per errorem dicit Topirum esse oppidum maritimum.

4 τραϊνούπολίς V. 5 εἰσιν Maltr.] ἐστιν V. 5—6 προβόλοις] malim περιβόλοις. 16 ⟨ἐς⟩ addidi. 19 ἀφ' Braun] ὑφ' codd. 20 σκλαβινοῖς V.

τειχίσματι περιβαλὼν ἐκρατύνατο. ταῦτα μὲν οὖν Ἰου-
στινιανῷ βασιλεῖ τῇδε πεποίηται.
Καὶ ὅσα δὲ αὐτῷ ὀχυρώματα εἴργασται ἀμφί τε τὴν 18
ἄλλην Θρᾴκην καὶ τὴν νῦν καλουμένην Αἱμίμοντον, ἐγὼ
δηλώσω. πρῶτα μὲν Φιλιππουπόλεώς τε καὶ Βεροίας, 19
ἔτι μέντοι Ἀδριανουπόλεώς τε καὶ Πλωτινουπόλεως τά
τε ἐνδέοντα καὶ καταπεπονηκότα σπουδῇ τῇ πάσῃ ᾠκο-
δομήσατο· ἐπεὶ αὐτὰς ἐπιμαχωτάτας ξυνέβαινεν εἶναι,
καίπερ ἔθνεσι γειτονούσας βαρβάρων πολλοῖς. καὶ φρού- 20 □
ρια δὲ ἀνάριθμα ἐπὶ Θρᾴκης ἱδρύσατο πάσης, δι' ὧν τὴν
χώραν, ἀποκειμένην τὰ πρότερα ταῖς τῶν πολεμίων ἐπι- B 305
δρομαῖς, παντάπασιν τανῦν ἀδῄωτον κατεστήσατο. ἔστι δὲ
τὰ φρούρια, ὅσα ἡμᾶς μεμνῆσθαι αὐτῶν, πρὸς ὄνομα τάδε.
[Ὅσα φρούρια ὁ θειότατος ἡμῶν βασιλεὺς Ἰουστινια-
νὸς ἔκτισεν ἐν χώρᾳ τῇ καλουμένῃ Εὐρώπῃ καὶ Ῥοδόπῃ
καὶ Θρᾴκῃ καὶ Αἱμιμόντῳ οὕτως.]

Ἐν Εὐρώπῃ·
Λυδικαί.
Ἐλαῖαι.

Ἐν Ῥοδόπῃ τὰ καινούρ-
για·
Κασεήρα.
Θεοδωρούπολις.
Τὸ τοῦ Θράσου.

Σουδανέλ.
Μούνδεπα.
Θαρσάνδαλα.
Δένιζος.
Τόπαρον.
Δαλάταρβα.
Βρέ.
Κουσκάβιρι.
Κούσκουλις.

1 οὖν A] om. V. 5 βερροίας codd. 6 πλουτινουπόλεως A. 11 ἀποκειμένην V pr. m.] ὑποκειμένην V corr. 12 ἔστι V] ἔτι A. 13 πρὸς ὄνομα V] om. A. 14—16 Ὅσα — οὕτως inclusi] om. A et edd. 19 ἐλᾶναι A. 22 κασέηρα A. 23 θεοδωρόπολις A. 24—25 τὸ τοῦ θρασανσουδανὲλ V, τὸ τοῦ θράσου σουδάνελ A. 26 μάνδεπα A. 29 τὸ πόρων V. 30 δαλάσαρβα A. 32 κουκασβίρι A. 33 κούσκουλης V.

Θρᾴκης.

Βόσπαρα.
Βεσούπαρον.
Καπιστούρια.
Βηρίπαρα.
Ἰσγίπερα.
Ὀξόρμη.
Βηρηΐαρος.
Ταμουβαρί.
Σκέμνας.
Καράσθυρα.
Πίνξος.
Τουλεοῦς.
Ἄρξον.
Καστράζαρβα.
Ζωσίτερσον.
Βέργισον.
Δίγγιον.
Σάκισσος.
Κουρτουξοῦρα.
Ποταμουκάστελλον.
Εἰσδίκαια.
Τὸ ἐμπόριον Ταυροκεφάλων.
Βηλαϊδίπαρα.
Σχίτακες.
Βέπαρα.
Πουσινόν.
Ὑμαυπάρουβρι. B 306
Σχαριωτασαλούκρα.
Αὐγούστας.
Οὐρδαούς.
Τοῦ ἁγίου Τραϊανοῦ.
Δέρταλλος.
Σολβανοῦ.
Βάσκον.
Ζίγκυρο.

Αἰμιμόντου.

Ζημάρχου.
Κηριπάρων.
Κασιβόνων.
Τὸ Οὖκον.
Ἀντωῖνον.
Γεσιλαφοσσᾶτον.

2 βεσύπαρον A, Bessapara It. Ant. 136, 3. 4 καπιτούρια A. 5 βερίπαρα A. 7 ὀξάρβα A. 8 βοριίαρος A. 10 Σκέμνας] σκεληνάς A. 11 καράσυρα A. 12 πίνξον A. 14 ἄρξεν A. 15 καστρόξαρβα A, cf. It. Ant. 231. 16 ζωσίτερπον A. 17 βέρτισον A. 18 δίνγιον V, δύνγιον A. 19 σακισός A. 20 κουργάξουρα A. 21 ποταμουκάστελλαν V, ποταμοῦ καστέλλαν A. 23—24 τὸ ἐμπόριον. ταύρων κεφάλων V, τὸ ἐμπορεῖον ταύρων κεφάλων A. 25 βολαοδίπαρα A. 28 παυσηνόν A. 29—149, 23 Ὑμαυπάρουβρι — Ἐργαμία] καὶ λοιπὰ οὐχ ὑποπίπτοντα ἀριθμῷ A. 40 κηριπάρων l] |ηρι|πάρων V.

Χερσῖνον.
Προβίνου.
Τοῦ ἁγίου Θεοδώρου. P 92
Βουρδέπτω.
Ῥακούλη.
Τοῦ ἁγίου Ἰουλιανοῦ.
Τζιταετοῦς.
Βηλαστύρας.
Γετρίνας.
Βρέδας.
Βῆρος.
Θωκύωδις.
Βία.
Ἀναγογκλί.
Σούρας.
Αὐθιπάρου.
Δορδᾶς.
Σαρμαθών.
Κλεισοῦρα.
Ὑλασιάναι.
Θρασαρίχου.
Βαΐκα.
Χρύσανθος.
Μαρκέρωτα.
Ζδεβρήν.
Τοῦ ἁγίου Θεοδώρου.
Ἄσγαρζος.
Βουρτούδγιζ.
Ταυρόκωμον.
Νίκη.
Καβοτούμβα.
Δεῖξας.
Γητριστάους.
Δέβρη. [Γητριστάοιε].
Προβίνου.
Κέρβερος.
Τησιμόντη.
Ἀσγίζους.
Δαλάταρβα.
Θεοδωρούπολις. B 307
Τζυειδών.
Τζουπολέγων.
Βασίβουνον.
Ἀγχίαλος.
Μαρκιανόν.
Κυρίδανα.
Βεκοῦλι.
Τὰ Θρᾳκῶν λειπόμενα.
Παρά τε τὸν Εὔξεινον πόντον καὶ ποταμὸν Ἴστρον, κἀν τῇ μεσογείᾳ, οὕτως.

Μυσίας παρὰ μὲν ποταμὸν Ἴστρον·

Ἑρκούλεντε.
Σχατρῖνα.

4 Βουρδέπτω] Burdipta It. Ant. 137, 2. 14 ἀναγουκλί V. 16 αὐθιπάρου V] ἀνθιπάρου l. 26 cf. vers. 3. 28 Burtudizo It. Ant. 230, 4. 34 [Γητριστάοιε] om. edd., est altera lectio ad γητριστάους. 35 cf. vers. 2. 37 τῇ ἐσιμόντῃ V.

Ἀππίαρα.
Ἐξεντάπριστα.
Δεονίανα.
Διμώ.
Ὀδυσσός.
Βίδιγις.
Ἀρῖνα.
Νικόπολις.
Ζικίδεβα.
Σκίβυρος.
Πόλις Κάστελλον.
Κιστίδιζος.
Βαστέρνας.
Μέταλλος.
Βηρίπαρα.
Σπαθιζός.
Μαρκέρωτα.
Βόδας.
Ζισνούδεβα.
Τουρούλης.
Ἰουστινιανούπολις.
Θερμά.
Γεμελλομοῦντες.
Ἀσίλβα.
Κούσκαυρι.
Κούσκουλι.
Φοσσᾶτον.

Βισδίνα.
Μαρκιανούπολις.
Σκυθιάς.
Γραψώ.
Νονώ.
Τροσμής.
Νεαϊοδουνώ.
Ῥεσιδίνα.
Κωνσταντιανά.
Καλλάτις.
Βασσίδινα.
Βελεδίνα. B 308
Ἄβριττος.
Ῥουβοῦστα.
Δινισκάρτα.
Μοντερεγῖνε.
Βέκις.
Ἀλτῖνα. P 93
Μαυροβάλλε.
Τίγρα.
Σκεδεβά.
Νόβας.

Ἐν δὲ τῇ μεσογείᾳ·

Κοπούστορος.
Βιργινασώ.
Τιλλιτώ.

5 Ὀδυσσός] Odisso It. Ant. 228. 15 Βηρίπαρα] cf. 146, 5. 17 Μαρκέρωτα] cf. 147, 24. 25—26 Κούσκαυρι. Κούσκουλι] cf. 145, 32—33. 29 Μαρκιανούπολις] cf. It. Ant. 228, 4. 40 Ἄβριττος] cf. Müller FHG III 674, 16. 45 Ἀλτῖνα] hoc castellum videtur idem esse, quod ae. IV 7, 9 Ἀλτηνῶν ἔρυμα dicitur.

Ἀγκυριανά.
Μουριδεβά.
Ἴτζης.
Καστελλόνοβο.
Παδισάρα.
Βισμαφά.
Βαλεντινιάνα.
Ζάλδαπα.
Ἀξίοπα.
Καρσώ.
Γρατίανα.
Πρέϊδις.

Ἀργαμώ.
Παυλίμανδρα.
Τζάσκλις.
Πούλχρα Θεοδώρα.
Τόμις.
Κρέας.
Κατασσοῦ.
Νίσκονις.
Νοβεϊουστινιανά.
Πρεσιδίω.
Ἐργαμία.

ΛΟΓΟΣ Ε΄. B 309

α΄. Τὰ μὲν δὴ ἐν πάσῃ Εὐρώπῃ δεδημιουργημένα Ἰουστινιανῷ βασιλεῖ ἐς ὅσον οἷόν τε ἦν ἐν τῷ ἔμπροσθεν λόγῳ ἐρρήθη. ἐς δὲ τῆς Ἀσίας τὰ λειπόμενα ἰτέον ἡμῖν. P 94
2 ὅσα μὲν οὖν πόλεών τε καὶ φρουρίων ἐρύματα, ἑτέρας τε οἰκοδομίας κατὰ τὴν ἑῴαν πεποίηται χώραν, ἐξ ὁρίων τῶν Μηδικῶν ἄχρι που ἐς Παλμύραν πόλιν, ἣ ἐν Φοίνιξι τοῖς ἐπὶ Λιβάνου τυγχάνει οὖσα, ἤδη μοι ἔμπροσθεν δεδηλῶσθαι οἶμαι. P 95
3 ἐν δέ γε τῷ παρόντι καὶ ὅσα κατὰ τὴν ἄλλην Ἀσίαν καὶ Λιβύην αὐτῷ εἴργασται ἢ τειχιζομένῳ τὰ κατὰ τὰς ὁδοὺς ἐπανορθοῦντι δυσκάριτα καὶ κινδύνων ἀτεχνῶς ἔμπλεα, πῇ μὲν ὀρῶν ἐπικειμένων κρημνώδη ὄντα, πῇ δὲ ποταμοῦ γειτονήματι τοὺς παρα-

10 Καρσώ] cf. It. Ant. 224, 4. 21 νοβεουΐουστινιανά V. 23 Post Ἐργαμία spatium novem versuum vacuum est in V. 26 ἐρρέθη A. 33 τὰ V] ἢ A. 34—35 πὴ — πὴ Dind.] πῆ — πῆ codd.

πίπτοντας ἀποπνίγοντα, ἢ πόλεων ἰωμένῳ παθήματα πάντα, ἐρῶν ἔρχομαι ἀρχόμενος ἐνθένδε.

4 B 310 Χωρόν τινα πρὸ τῆς Ἐφεσίων πόλεως ἐν ὀρθίῳ κείμενον ξυνέβαινεν εἶναι, οὐ γήλοφον οὐδὲ δυνατὸν ἀφεῖναι καρπούς, εἴ τις πειρῷτο, ἀλλὰ σκληρόν τε καὶ τραχὺν ὅλως.
5 ἐνταῦθα νεὼν οἱ ἐπιχώριοι ἐν τοῖς ἄνω χρόνοις Ἰωάννῃ τῷ ἀποστόλῳ ἀνέθηκαν, θεολόγος δὲ τὴν ἐπίκλησιν ὁ ἀπόστολος οὗτος ὠνόμασται, ἐπεὶ τά γε ἀμφὶ τῷ θεῷ ἄμεινον αὐτῷ ἢ κατὰ ἄνθρωπον δεδιήγηται φύσιν.
6 τοῦτον δὴ τὸν νεὼν Ἰουστινιανὸς βασιλεὺς βραχύν τε ὄντα καὶ καταπεπονηκότα τῷ μήκει τοῦ χρόνου καθελὼν ἐς τὸ ἔδαφος, ἐς τοσόνδε μεθηρμόσατο μεγέθους καὶ κάλλους, ὥστε δή, ξυνελόντα εἰπεῖν, ἐμφερέστατος καὶ παντάπασιν ἐνάμιλλος τῷ ἱερῷ ἐστιν, ὅπερ ἐν πόλει τῇ βασιλίδι τοῖς ἀποστόλοις ἀνέθηκε πᾶσιν, ὥσπερ μοι ἐν τοῖς ἔμπροσθεν δεδήλωται λόγοις.

7 Ταῦτα μὲν ἐν Ἐφέσῳ ἐξείργασται τῷ βασιλεῖ τούτῳ. ἐν Τενέδῳ δὲ ταύτῃ τῇ νήσῳ σωτήριόν τι πόλει τε τῇ βασιλίδι καὶ τοῖς κατὰ θάλασσαν ἐργαζομένοις πεποίηται, ὅπερ ἐγὼ αὐτίκα δηλώσω, τοσοῦτον ὑπειπών· ἡ θάλασσα
8 ἐφ' Ἑλλησπόντου ἐν στενῷ μάλιστα φέρεται. ἄμφω γὰρ αἱ ἤπειροι ἀλλήλαις ὡς ἀγχοτάτω ἐνταῦθα ἰοῦσαι τὴν τοῦ πορθμοῦ ποιοῦνται ἀρχὴν ἀμφὶ Σηστόν τε καὶ Ἄβυδον, ἐπειδάν τε αἱ νέες ἐνταῦθα ἵκωνται, ὅσαι δὴ Κων-
9 σταντινουπόλεως εὐθὺ ἵενται, τῇδε ὁρμίζονται. ἀνάγεσθαι δὲ αὐταῖς ἐνθένδε ἀμήχανά ἐστιν, ὅτι μὴ νότου
10 ἐπιπνεύσαντος ἀνέμου σφίσιν. ἡνίκα οὖν ὁ σιταγωγὸς

15 cf. ae. I 4, 9.

2 ἀρξάμενος ἐνθάδε A. 10 δὴ V] τε A. 11 τῷ V] om. A. 11—12 καθελὼς A. 16 δεδήλωται V] δεδιήγηται A. 22 ἀγχωτάτω A. 27 Ante ἀνέμου spatium unius verbi vacuum est in V, fortasse excidit ἐπιφόρου. οὖν V] γοῦν A.

στόλος ἐκ πόλεως Ἀλεξανδρείας ἐνταῦθα ἴοι, εἰ μὲν ἐμπέσοι τὸ πνεῦμα ἐπίφορον σφίσι, δι' ὀλίγου μὲν οἱ ταύτην τὴν ἐργασίαν διαχειρίζοντες καταίρουσι ταῖς ναυσὶν ἐς τοὺς Βυζαντίους λιμένας, ἀποφορτιζόμενοι δὲ ἀπαλ- B 311
λάσσονται αὐτίκα δὴ μάλα, ἐφ' ᾧ δὴ πρὸ τῆς τοῦ χειμῶνος ὥρας δεύτερόν τε καὶ τρίτον διαπεραιώσονται στόλον. ὅσοις δὲ αὐτῶν βουλομένοις ᾖ, καὶ ἄλλο 11
τι τῶν ἐμπολημάτων ἐνθένδε ἀντιφορτισάμενοι ἀναστρέφουσιν. εἰ μέντοι ἀπ' ἐναντίας σφίσι τὸ πνεῦμα ἐφ' 12
Ἑλλησπόντου ἴοι, ἐνταῦθα δὴ τῷ τε σίτῳ καὶ ταῖς ναυσὶ σεσηπέναι συνέβαινεν. ἅπερ ἐν προνοίᾳ πεποιημένος 13
Ἰουστινιανὸς βασιλεὺς διαφανῶς ἐπιδέδεικται ὡς ἀνθρώπῳ ἂν ἀμήχανον οὐδὲν γένοιτο, οὐδ' ἣν τοῖς χαλεπωτάτοις ἀνταγωνίζοιτο. ἐν Τενέδῳ γὰρ τῇ νήσῳ, ἣ τοῦ 14
πορθμοῦ ἄγχιστά ἐστι, σιτῶνα ἐπετεχνήσατο τῷ παντὶ P 96
στόλῳ ἀποφορτίσασθαι διαρκῶς ἔχοντα, εὖρος μὲν οὐχ ἧττον ἢ ποδῶν ἐνενήκοντα, μῆκος δὲ ποδῶν ὀγδοήκοντα καὶ διακοσίων, ἐς ὕψος τε ἄφατον ἐπιεικῶς κατατείνοντα. οὗ δὴ τῷ βασιλεῖ ἐξειργασμένου, ὁπηνίκα ἂν τοῦ δημο- 15
σίου σίτου παραπομποὶ ἐνταῦθα ἰόντες ἀνέμων ἐναντιώμασι συμποδίζοιντο, οἵδε τὸν φόρτον ἐν τῷ σιτῶνι καταθέμενοι τούτῳ καὶ χαίρειν φράσαντες τῷ τε βορρᾷ καὶ ζεφύρῳ πολλά, καὶ εἴ τις ἄλλος ἀπ' ἐναντίας αὐτοῖς ἐνταῦθα ἴοι, ἐς πλοῦν ἕτερον συσκευάζονται. καὶ αὐτοὶ 16
μὲν εὐθὺς εἰς τὰ οἰκεῖα κομίζονται, χρόνῳ δὲ ὕστερον, ὁπηνίκα ἂν τὸν ἐνθένδε ἀπόπλουν ἐς Βυζάντιον ἐν ἐπι-

8 ἐκπωλημάτων V. 9—10 ἐφ' ἑλλησπόντου τὸ πνεῦμα A. 11 ξυνέβαινεν A. 15—16 σιτῶνα—ἔχοντα A] σιτῶνας—ἔχοντας V. 17 ποδῶν V] om. A. 18 τε] δὲ Wahler. 20 παράπομποι codd. 21 ξυμποδίζοιντο A. οἵδε A] οἱ δὲ V. 22 τούτῳ καταθέμενοι A.

τηδείῳ γενέσθαι ξυμβαίη, πλοίοις ἑτέροις τὸν σῖτον ἐκ
Τενέδου διακομίζουσιν οἷς ἐπίκειται ἡ τιμὴ αὕτη.

β'. Ἔστι δέ τις ἐν Βιθυνοῖς πόλις, Ἑλένης ἐπώνυμος
οὖσα τῆς Κωνσταντίνου βασιλέως μητρός. ἐκ ταύτης
γὰρ τὴν Ἑλένην ὡρμῆσθαί φασι, κώμης οὐκ ἀξιολόγου
2 τὰ πρότερα οὔσης. ἧπερ τὰ τροφεῖα Κωνσταντῖνος ἐκτί-
B 312 νων ὀνόματι μὲν καὶ ἀξιώματι πόλεως τὸ χωρίον δεδώ-
ρηται τοῦτο, οὐ μέντοι οὐδὲν οὐδὲ βασιλικὸν οὐδὲ μεγα-
λοπρεπὲς τῇδε πεποίηται, ἀλλὰ τῇ μὲν κατασκευῇ ἐπὶ
τῆς προτέρας διέμεινε τύχης, κεκόμψευται δὲ μόνῳ τῷ
πόλις κεκλῆσθαι καὶ τῇ ἐπωνυμίᾳ τῆς τροφίμου Ἑλένης
3 ἀποσεμνύνεται. ὁ δὲ καθ' ἡμᾶς βασιλεύς, ὥσπερ τὴν
ἀγνωμοσύνην ἀπολογούμενος τοῦ τῆς βασιλείας προπά-
τορος, πρῶτα μὲν ὕδατος ἀπορίᾳ πιεζομένην τὴν πόλιν
ἰδὼν καὶ δίψῃ ἐπιεικῶς δεινῇ ἐχομένην, ὀχετὸν αὐτο-
σχεδιάζει θαυμάσιον οἷον, ὕδωρ τε αὐτῷ παρέχεται
ἀπροσδόκητον ἰδεῖν, τοῖς τῇδε ἀνθρώποις οὐ πιεῖν μό-
νον, ἀλλὰ καὶ λούεσθαι ἱκανῶς ἔχον, καὶ ὅσα ἄλλα τρυ-
φῶσιν ἄνθρωποι, εὐπορίαν κατακόρως ὕδατος ἔχοντες.
4 πρὸς δὲ καὶ βαλανεῖον αὐτοῖς ἐν δημοσίῳ πεποίηται οὐ
πρότερον ὄν, ἕτερόν τε ἀνῳκοδομήσατο διεφθαρμένον τε
καὶ εἰκῇ κείμενον τῷ τε σπανίζειν, ἧπέρ μοι ἐρρήθη,
5 τοῦ ὕδατος καὶ τῷ ἀπημελῆσθαι καταπεσὸν ἤδη. ἀλλὰ
καὶ ἱερὰ καὶ βασίλεια καὶ στοὰς καὶ καταλυτήρια ταῖς
ἀρχαῖς ἐδείματο τῇδε, καὶ τοῖς ἄλλοις ἐπιδέδεικται αὐτὴν
πόλιν εὐδαίμονα.
6 Ταύτης δὲ ῥεῖ τῆς πόλεως ἄγχιστα ποταμός, ὅνπερ

1—2 ἐκ τενέδου τὸν σῖτον A. 2 τιμὴ V] σπουδὴ A. 3 ἔστι V] ἔτι A. 4 βασιλέως A] τοῦ βασιλέως V. 6—7 ἐκτείνων A. 15—16 αὐτοσχεδιάζει scripsi] αὐτὸς σχεδιάζει codd. 16 αὐτῷ V] om. A. 18 ἔχον V] ἔχειν A. 19 εὐπορίαν V] εὐπορίας A. 21 τε 1 A] τε αὐτοῖς V. 22 ἐρρέθη A. 25 ἐδήματο A.

ὁμωνύμως τῷ σχήματι Δράκοντα καλοῦσιν οἱ ἐπιχώριοι.
περιστρέφεται γὰρ ἑλισσόμενος ἐφ' ἑκάτερα καὶ ἀπ' ἐναν- 7
τίας αὐτῷ ἀντιπεριάγων τὰς δίνας, σκολιῷ τε τῷ ῥοθίῳ, □
πῇ μὲν ἐν δεξιᾷ, πῇ δὲ ἐν ἀριστερᾷ προσιών· ὥστε ἀμέ- P 97
λει διαβαίνειν αὐτὸν πλεῖν ἢ εἰκοσάκις ἐπάναγκές ἐστι
τοῖς τῇδε ἰοῦσι. πολλοῖς τε οὕτω διεφθάρθαι ξυνέβαινε 8
τοῦ ποταμοῦ ἐξαπιναίως παρὰ τὰ ξυνειθισμένα πλημ-
μύροντος. πρὸς δὲ καὶ δάσος ἀμφιλαφὲς καὶ καλάμου 9
τῇδε φυομένου μέγα τι χρῆμα συμποδίζον αὐτοῦ τὴν
ἐπὶ τὴν θάλασσαν ἐκβολὴν χαλεπώτερον αὐτὸν ἐσκευω- B 313
ροῦντο εἶναι τοῖς ἐκείνῃ χωρίοις. χρόνῳ γοῦν οὐ πολλῷ 10
πρότερον, ὄμβρων οἱ ἐπιγενομένων πολλῶν, λιμνάζων τε
καὶ κυρτούμενος καὶ σκεδαννύμενος ἐπὶ πλεῖστον τῆς
γῆς, ἀνήκεστα κακὰ εἴργασται. χωρία τε γὰρ παμπληθῆ 11
καθεῖλε, προρρίζους τε ἀμπέλους, ἔτι μέντοι ἐλαίας τε
καὶ δένδρων ἄλλων παντοδαπῶν ἀνάριθμα πρέμνα, πρὸς
δὲ καὶ τὰς οἰκίας, αἳ πρὸ τοῦ περιβόλου τῆς πόλεως
ἐτύγχανον οὖσαι, πάθεσί τε ἄλλοις ὑπερμεγέθεσι τοὺς
ἐπιχωρίους ἐπέτριψεν. οὕσπερ ἐποικτισάμενος Ἰουστι- 12
νιανὸς βασιλεὺς ἐπενόει τοιάδε. τὰ μὲν ἄλση περικα-
θήρας καὶ τὸν κάλαμον ἐκτεμὼν ἅπαντα, ἐλευθέρας ποι-
εῖσθαι τῷ ποταμῷ ξυνεχώρησε τὰς ἐς τὴν θάλασσαν ἐκ-
βολάς, ὡς μηκέτι αὐτῷ διασκεδάννυσθαι ἐπάναγκες εἴη·
τὰ δὲ ὄρη κατὰ μέσον ἀποτεμών, ἃ δὴ ἀνέχει ἀμφὶ τὰ
ἐκείνῃ χωρία, ἐν ταῖς πρότερον ἀποτόμοις καὶ κρημνώ-
δεσι χώραις ὁδὸν ἁμαξιτὸν ἐξειργάσατο. ταύτῃ τε τοῦ 13
ποταμοῦ τὴν διάβασιν οὐκ ἀναγκαίαν ἐκ τοῦ ἐπὶ πλεῖ-

3 ἀντιπεριάγων A] ἀντιρεῖ ἄγων V. 4 πῇ — πῇ Dind.] πῆ — πῆ codd. 5 πλεῖν V] πλὴν A. εἰκοσάκις A] ὁσάκις V. 6 ἰοῦσι A] οὖσι V. 8 δάσος V] ὕδατος A. 9 ξυμποδίζον A. 10 αὐτὸν V] om. A. 16 ἄλλων V] om. A. 20 ἐπενόει V] ἐποίει A.

14 στον τοῖς ἐνταῦθα οὖσι πεποίηκεν εἶναι. καὶ γεφύρας
δύο ἐς ἄγαν εὐρείας τῷ ποταμῷ τούτῳ ἐντέθειται, καὶ
ἀπ᾽ αὐτοῦ ἀκινδύνως αὐτὸν διαβαίνουσι τὸ λοιπὸν
ἅπαντες.

γ'. Οἷα δὲ καὶ τὴν ἐν Βιθυνοῖς Νίκαιαν ἐξείργασται
ἀγαθὰ εἰπεῖν ἄξιον. πρῶτα μὲν τὴν ὀχεταγωγίαν παν-
τάπασί τε διεφθαρμένην καὶ τὴν χρείαν ὡς ἥκιστα παρ-
εχομένην ἀνανεωσάμενος ἅπασαν, ὕδασι τὴν πόλιν κατα-
2 κορῆ διεπράξατο εἶναι. ἔπειτα δὲ ἱερά τε καὶ μοναστήρια
3 τὰ μὲν γυναιξί, τὰ δὲ ἀνδράσιν ἐδείματο. καὶ τὰ ἐκείνῃ
βασίλεια, ἐκ μοίρας ἤδη καταπεπτωκότα τινός, ἀνενεώ-
B 314 σατο σπουδῇ ἅπαντα, ἔτι μέντοι καὶ βαλανεῖον ἐν τῷ
καταλυτηρίῳ τῶν βερεδαρίων καλουμένων ἐκ παλαιοῦ
4 διεφθαρμένον. ταύτης δὲ τῆς πόλεως ἐς τὰ πρὸς δύοντα
ἥλιον ὡς ἀγχοτάτω χειμάρρους ὡς τὰ πολλὰ ἐπισκήπτειν
5 φιλεῖ, ἄπορον ὅλως ἐργαζόμενος τὴν ταύτῃ ὁδόν. καὶ
γέφυρα μέν τις ἐνταῦθα πεποίηται τοῖς πάλαι ἀνθρώ-
ποις, ἣ προϊόντος χρόνου προσβάλλουσαν οὐδαμῆ ἐν-
εγκοῦσα τὴν τοῦ χειμάρρου ἐπιρροὴν (ἐπεὶ οὐκ ἐν ἐπι-
τηδείῳ διασκευασθεῖσα ἐτύγχανεν) ὑπεχώρησέ τε τῷ ῥο-
θίῳ βιαζομένῳ καὶ ἀπιοῦσα σὺν αὐτῷ ᾤχετο, οὐδὲ ἴχνος
6 P 98 αὐτῆς ἐν τῷ χώρῳ ἀπολιποῦσα, οὗ πρότερον ἦν. βασι-
λεὺς δὲ Ἰουστινιανὸς γέφυραν ἐπήξατο ἐνταῦθα ἑτέραν
ἐς τόσον ὕψους τε καὶ εὔρους διήκουσαν, ὥστε δὴ αὐτῆς
οὐδὲ κατὰ πολλοστημόριον τὴν προτέραν οὖσαν γεγονέ-
ναι δοκεῖν, ἣ τὸν χειμάρρουν, ἡνίκα μορμύρει, κατὰ πολὺ
ὑπεραίρουσα ἐν τῷ βεβαίῳ διασώζεται τοὺς ταύτῃ
ἰόντας.

7 Ἐν δὲ Νικομηδείᾳ τὸ βαλανεῖον τὸν Ἀντωνῖνον ἀνε-

5 ἐξείργασται V] εἴργασται A. 7 τε V] om. A. 8 ἅπα-
σαν V] ξύμπασαν A. 15 ἀγχωτάτω A.

νεώσατο. μοῖρα γὰρ αὐτοῦ ἡ ἀξιολογωτάτη καταπεπτώ-
κει, μεγέθει τοῦ ἔργου ἀπροσδόκητος ὅτι δὴ ἀνοικοδο-
μηθήσεται γεγενημένη. ὁ μέγας δὲ ποταμὸς οὗτος, ὅνπερ 8
Σάγαριν καλοῦσι νῦν, σφοδρῷ μὲν κατιὼν ἐς ἄγαν τῷ
ῥείθρῳ, ἐπὶ μέσης δὲ πεφυκὼς ἄβυσσος, εὐρυνόμενος δὲ
θαλάσσῃ ἴσα, διαγέγονε μὲν τά γε εἰς γέφυραν ἀνέπαφος
πᾶσιν, ἐξ οὗ γεγόνασιν ἄνθρωποι, ἀκάτων δὲ συνδέοντες
πλῆθος καὶ φορμηδὸν αὐτὰς ἀλλήλαις ἐναρμοσάμενοι,
ἐνταῦθα διαπορθμεύεσθαι τολμῶσι πεζοί, ὥσπερ ποτὲ
δέει τοῦ Ξέρξου τὸν Ἑλλήσποντον ὁ τῶν Μήδων στρα-
τός. ἀλλὰ καὶ τοῦτο οὐκ ἀνεπικινδύνως αὐτοῖς γίνεται. 9
πολλάκις γὰρ ὁμοῦ τοῖς δεσμοῖς συλλαβὼν τὰς ἀκάτους
ἁπάσας, εἶτα τὴν διάβασιν ἀνεχαίτισε τοῖς τῇδε ἰοῦσι. B 315
βασιλεὺς δὲ Ἰουστινιανὸς γέφυραν αὐτῷ ἐγκεχείρηκεν 10
ἐποικοδομεῖσθαι τανῦν. ἀρξάμενός τε τοῦ ἔργου ἤδη
πολλὴν ἐς αὐτὸ διατριβὴν ἔχει· ὅπερ εὖ οἶδα ὅτι ὑποτε-
λέσει οὐ πολλῷ ὕστερον, τεκμηριούμενος ὅτι δὴ αὐτῷ τὰ
ἔργα συνεπιλαμβάνεται ὁ θεὸς ἅπαντα. οὐκοῦν ἀπέραν- 11
τον αὐτῷ ἐνθύμημα οὐδὲν ἔμεινεν ἐς τόδε τοῦ χρόνου,
καίτοι ἐπὶ πλείστοις τὸ κατ᾽ ἀρχὰς τοῖς ἀμηχάνοις ἐγχει-
ρεῖν ἔδοξεν.

Ἔστι δέ τις ἐν Βιθυνοῖς ὁδὸς ἐς τὰ Φρυγῶν ἤθη ἐν- 12
θένδε ἰόντι, ἔνθα δὴ ἀνθρώποις τε ἀναρίθμοις καὶ ζῴοις
ἑτέροις χειμῶνος ὥρᾳ διολωλέναι ξυνέβαινε· γεώδης γὰρ 13
ὑπεράγαν ἡ χώρα οὖσα, μὴ ὅτι ὄμβρων ἐξαισίων καταρ-
ραγέντων ἢ χιόνων πολλῶν ἐπικεχυμένων τε καὶ διαλυ-
θεισῶν ἐν ἐσχάτῳ, ἀλλὰ καὶ ψεκάδων ἐπιπεπτωκυιῶν,

1 Cedren. I 674, 20. 15 Theoph. I 234, 15. Cedren. I 678, 15.

4 σάγαριν V] σάγγαριν A. ἐς V] om. A. 7 ξυνδέοντες
A. 15 ἤδη V] om. A. 16 ὅτι V] om. A. 24 ἑτέροις V]
om. A.

ἂν οὕτω τύχῃ, ἐς τέλμα βαθὺ καὶ ἀπόρρυτον ξυνισταμένη,
τάς τε ὁδοὺς τεναγώδεις ἐργαζομένη, τοὺς τῇδε
14 ἰόντας ἐκ τοῦ ἐπὶ πλεῖστον ἀπέπνιγεν. ἀλλὰ καὶ τοῦτον
αὐτός τε μεγαλοφροσύνῃ ψυχῆς καὶ ἡ βασιλὶς Θεοδώρα
15 τὸν κίνδυνον τοῖς παριοῦσι διέλυσαν. ἐς ἡμέρας γὰρ
ὁδοῦ ἥμισυ εὐζώνῳ ἀνδρὶ λίθοις παμμεγέθεσι σκέπας
τῇ λεωφόρῳ ἀπεργασάμενοι ἐπὶ στερρᾶς τῆς ὁδοῦ παριέναι
διεσκευάσαντο τοὺς τῇδε ἰόντας. ταῦτα μὲν Ἰουστινιανῷ
βασιλεῖ ταύτῃ ἐξείργασται.
16 Πηγαὶ δὲ θερμῶν φύσει ἐν Βιθυνοῖς ὑδάτων ἀναβλυ-
17 στάνουσιν ἐν χώρῳ, ὅνπερ ἐπονομάζουσι Πύθια. ταύτας
ἔχουσι παραψυχὴν ἄλλοι τε πολλοὶ καὶ διαφερόντως Βυ-
18 ζάντιοι, ἄλλως τε ὅσοις νοσώδεσι συμβαίνει εἶναι. ἔνθα
δὴ πολυτέλειαν ἐπιδέδεικται βασιλεῖ πρέπουσαν· βασίλειά
τε γὰρ ᾠκοδομήσατο οὐ πρότερον ὄντα καὶ λου-
P99B316 τρῶνα ἐν δημοσίῳ τῶν ἐκεῖ φυομένων θερμῶν ὑδάτων
□ 19 πεποίηται. πηγάς τε ποτίμων ὑδάτων ὡς ἑκάστῳ ἀποβλυζούσας
ἐς τόνδε τὸν χῶρον ὀχεταγωγίᾳ διακομίσας,
τὸν πρότερον ἐνταῦθα ἐπιχωριάζοντα περιεῖλεν αὐχμόν.
20 ἀλλὰ καὶ τοῦ ἀρχαγγέλου τὸ τέμενος καὶ τὸ τῶν νοσούντων
ἀνακαυστήριον, μείζω τε καὶ κατὰ πολὺ ἐπιφανέστερα
κατεστήσατο.

δ΄. Ἔστι δὲ ποταμὸς ἐν Γαλάταις, ὅνπερ καλοῦσιν οἱ
ἐπιχώριοι Σίβεριν, τῶν μὲν καλουμένων Συκεῶν ἄγχιστα,
πόλεως δὲ Ἰουλιουπόλεως ἀπὸ σημείων μάλιστα δέκα, ἐς
2 τὰ πρὸς ἀνίσχοντα ἥλιον. ὃς δὴ πολλάκις ἐξαπιναίως

25 Ἰουλιουπόλεως] hoc oppidum antea Gordiucomen dictum esse tradit Strabo 574.

1 τύχῃ V] τύχοι A. 2 ἀπέπνιγεν A] ἀνέπνιγεν V. 4 τε A] om. V. 10—11 ἀναβλυστάννουσιν V. 11 ταύτας A] ταύτην V. 17 ὡς V] ς evanuit in V. ἑκάστῳ A] ἑκαστάτῳ V. 24 σίβεριν V] τίβεριν A.

ἀρθεὶς ἐπὶ μέγα τῶν ἐκείνῃ ὁδῷ ἰόντων πολλοὺς ἔφθειρεν.
οἷσπερ ὁ βασιλεὺς ἀπαγγελλομένοις συνταραχθεὶς 3
διακωλυτὴς τοῦ κακοῦ τὸ λοιπὸν γέγονε, τὸν μὲν ποταμὸν
γεφυρώσας ἔργῳ ἰσχυρῷ καὶ οἵῳ πλημμύροντι ποταμῷ
μάχεσθαι, ἕτερον δὲ τοῖχον ἐν προβόλου σχήματι
τῆς γεφύρας ἐς τὰ πρὸς ἕω πεποιημένος, ὃν δὴ πρόμαχον
καλοῦσιν οἱ ταῦτα σοφοί. καὶ νεὼν δὲ αὐτῆς ᾠκο- 4
δομήσατο ἐς τὰ πρὸς δύοντα ἥλιον τοῖς παριοῦσι σωτήριον
χειμῶνος ὥρᾳ ἐσόμενον. ταύτης δὲ Ἰουλιουπόλεως 5
τὸν περίβολον ἠνώχλει τε καὶ κατέσειε ποταμός, ἀμφὶ
τὰ πρὸς ἑσπέραν παραρρέων. ἀλλὰ καὶ αὐτὸν διεκώλυ- 6
σεν ὁ βασιλεὺς οὗτος, ἀντιτείχισμα τῷ περιβόλῳ ἐπὶ
πόδας οὐχ ἧσσον ἢ πεντακοσίους καταστησάμενος. ταύτῃ
τε τὸ τῆς πόλεως ἔρυμα οὐκέτι ἐπικλυζόμενον διεσώσατο.
Ἐν δὲ Καππαδόκαις ἐποίει τάδε. Καισάρεια μὲν πό- 7
λις ἐνταῦθα μεγίστη τε καὶ πολυάνθρωπος ἐκ παλαιοῦ
τυγχάνει οὖσα. τεῖχος δὲ αὐτὴν περιέβαλλε τῷ ὑπερβάλλοντι
τῆς ἀμετρίας ἐπιμαχώτατόν τε ὂν καὶ ἀφύλακτον
ὅλως. χώρας τε γὰρ οὔ τι ἀναγκαίας τῇ πόλει 8 B 317
περιεβάλλετο μέγα τι χρῆμα, καὶ τῇ ἐς ἄγαν περιουσίᾳ
τοῖς ἐπιβουλεύουσιν εὐέφοδον ἦν. λόφοι γὰρ ἐνταῦθα 9
ἐπανεστήκασιν ὑψηλοί, οὐκ ἄγχιστά πη ἀλλήλων, ἀλλὰ
κατὰ πολὺ ἄποθεν· οὕσπερ ὁ τῆς πόλεως οἰκιστὴς ἐντὸς
τοῦ περιβόλου καταλαβεῖν ἐν σπουδῇ ἔχων, ὡς μὴ ἐπιτείχισμα
κατ᾽ αὐτῆς εἶεν, τῷ τῆς ἀσφαλείας ὀνόματι τὰ
σφαλερώτατα ἐξειργάσατο. πεδία τε γὰρ πολλὰ καὶ κή- 10
πους ἐτειχίσατο, καὶ σκοπέλους τε καὶ θρεμμάτων νομάς.
ἔνθα δὴ οὐδὲ χρόνῳ ὕστερον οἰκοδομήσασθαί τι οἱ τῇδε 11

1 ἐπὶ V] om. A. 2 ἐπαγγελλομένοις A. ξυνταραχθεὶς A. 3 τοῦ λοιποῦ τοῦ κακοῦ A. 6—7 πρόμαχον V] πρόβολον A. 7 αὐτῆς V] αὐτοῖς A. 8 παριοῦσι A] παροῦσι V. 9 ταύτης δὲ ἰουλιοπόλεως V, τῆς δὲ ἡλιουπόλεως A.

ἄνθρωποι ἔγνωσαν, ἀλλ' ἐφ' οὗπερ ἦν σχήματος ἔμεινεν.
12 εἰ δέ που καὶ οἰκία τετύχηκεν εἶναι, ταῦτα δὴ ἀγείτονα
13 κατὰ μόνας ὄντα διαγεγόνασιν ἐς τόδε τοῦ χρόνου. καὶ
οὔτε τὰ φυλακτήρια κατὰ λόγον τοῦ περιβόλου ἐς τὴν
P 100 αὐτοῦ ἐξικνεῖσθαι φυλακὴν εἶχεν, οὔτε αὐτοῦ ἐπιμελεῖ-
σθαι τοσοῦδε ὄντος ἐν δυνάμει ἐγίνετο τοῖς τῇδε ἀνθρώ-
ποις. ἀτείχιστοί τε δοκοῦντες εἶναι περίφοβοι διηνεκὲς
14 ἦσαν. ἀλλὰ βασιλεὺς Ἰουστινιανὸς τὰ μὲν οὐκ ἀναγκαῖα
τοῦ περιβόλου περιελών, τὴν δὲ πόλιν ὡς ἀληθῶς ἐρύ-
ματι ἐς τὸ ἀσφαλὲς περιστείλας, ὀχύρωμα μὲν κατεστή-
σατο ἀμαχώτατον εἴ τις προσίοι, διαρκεῖ δὲ αὐτὸ φυλα-
κτηρίῳ ἐπέρρωσε. Καισαρεῦσι μὲν οὖν τοῖς ἐν Καππα-
δόκαις οὕτω τὴν ἀσφάλειαν διεσώσατο.
15 Ἦν δέ τι φρούριον ἐν Καππαδόκαις Μωκησὸς ὄνομα,
ἐν μὲν τῷ ὁμαλεῖ κείμενον, σαθρὸν δὲ οὕτω γεγενημέ-
νον ὥστε δὴ αὐτοῦ τὰ μὲν καταπεπτώκει, τὰ δὲ ἔμελλεν.
16 ὅπερ Ἰουστινιανὸς βασιλεὺς καθελών, τεῖχος ᾠκοδομή-
σατο κομιδῇ μέγα ἐς τὰ πρὸς ἑσπέραν τοῦ πάλαι φρου-
ρίου ἐν χωρίῳ ἀνάντει τε καὶ λίαν ὀρθίῳ καὶ ἀμηχάνῳ
17 B 318 προσελθεῖν, εἴ τις προσίοι. ἔνθα δὴ καὶ ἱερὰ τεμένη
πολλὰ καὶ ξενῶνας καὶ λουτρῶνας ἐν δημοσίῳ ἐδείματο
18 καὶ ὅσα ἄλλα ἐνδείκνυται πόλιν εὐδαίμονα. ἐξ οὗ δὴ
καὶ εἰς μητροπόλεως ἀξίωμα ἦλθεν· οὕτω γὰρ πόλιν τὴν
πρώτην τοῦ ἔθνους καλοῦσι Ῥωμαῖοι. τὰ μὲν οὖν ἐν
Καππαδόκαις τοιαῦτα ἐγεγόνει.

εʹ. Ἐκ πόλεως δὲ Ἀντιοχείας, ἣ νῦν Θεούπολις ἐπι-
κέκληται, ἐς Κιλικίαν ἰόντι παρ' αὐτὴν μάλιστα τὴν ὁδὸν

23 μητροπόλεως] Mocisus fuit metropolis Cappadociae tertiae. cf. Wessel. ad Hierocl. p. 698 et 700.

2 δὴ scripsi] δὲ codd. 4 ἐς V] ἐπὶ A. 7 ἀτείχιστοί V] ἀτείχιστόν A. 14 μωκησὸς V] μουκισσὸς A.

προάστειόν ἐστι, Πλατανὼν ὄνομα· ταύτης δὴ τῆς πό-
λεως οὐ πολλῷ ἄποθεν τρίβος τε ἦν ἐκ παλαιοῦ σφιγγο-
μένη ἐκ τῶν παρατεταμένων ὀρῶν ἐν στενῷ μάλιστα,
ὄμβρων δὲ αὐτὴν ἐς χρόνου μῆκος ἐπικλυσάντων ἐξίτη-
λος ἐκ τοῦ ἐπὶ πλεῖστον γεγενημένη μετὰ κινδύνων τὰς
διεξόδους παρείχετο ποιεῖσθαι τοῖς τῇδε ἰοῦσιν. ἅπερ 2
ἐπεὶ Ἰουστινιανὸς βασιλεὺς ἀκοῇ ἔλαβεν, ἐν βουλῇ τε
καὶ προνοίᾳ πάσῃ πεποιημένος, ἄκεσιν εὐθὺς τοῦ κακοῦ
εὕρετο. χρήματα γὰρ προέμενος ἀριθμοῦ κρείττονα, ὄρη 3
τε τὰ ἐκείνῃ ἀνέχοντα ἐπὶ μακρότατον ἐκτεμὼν ἅπαντα
καὶ νενικηκὼς τὰ ἀμήχανα, ὁδὸν ἁμαξήλατον ἐκ τοῦ πα-
ραλόγου καὶ τοῦ παραδόξου καὶ τὰ πρόσθεν ἀπόκρημνα
ἔν τε τῷ ὑπτίῳ καὶ τῷ ἀνειμένῳ διεσκευάσατο, διαφα-
νῶς ἐνδειξάμενος ὡς γνώμῃ προμηθεῖ καὶ χρημάτων
ὑπερορώσῃ οὐδὲν ἀνθρώπῳ ἄπορον γένοιτο. τοῦτο μὲν
οὖν ταύτῃ ἐξείργασται.

Πόλις δέ πού ἐστιν ἐν Κίλιξιν ἡ Μοψουεστία, τοῦ 4
μάντεως, ὥς φασιν, ἐκείνου τοῦ παλαιοῦ ἔργον. ταύτην
ποταμὸς παραρρεῖ Πύραμος, τῇ μὲν πόλει γινόμενος ἐγ- P 101
καλλώπισμα, γεφύρᾳ δὲ μόνῃ διαβατὸς ὤν. χρόνου δὲ 5
πολλοῦ ἐπιρρεύσαντος πεπονηκέναι τῆς γεφύρας τὰ πλεῖ-
στα ξυνέβη. ἐῴκει τε πεσουμένοις αὐτίκα δὴ μάλα, καὶ □
τοῖς διαβαίνουσι διὰ ταῦτα ὁ θάνατος ἐν ὀφθαλμοῖς ἦν. B 319
πρᾶγμά τε εἰς σωτηρίαν ἐπινενοημένον τοῖς πάλαι ἀν- 6
θρώποις, τῇ τῶν προεστηκότων ὀλιγωρίᾳ ἐγίνετο κιν-
δύνου τε πολλοῦ καὶ φόβου αἰτία. ὁ δὲ καθ' ἡμᾶς βα- 7
σιλεὺς τὰ διερρυηκότα ἐπανορθώσας σπουδῇ ἅπαντα τῇ
τε γεφύρᾳ καὶ τοῖς παριοῦσι τὴν ἀσφάλειαν ἀνεσώσατο,

7 Ἰουστινιανὸς βασιλεὺς A] βασιλεὺς Ἰουστινιανὸς V. 9 εὕρετο V] εὕρατο A. κρείσσονα A. 12 καὶ τὰ V] κατὰ A. ἀποκρημνὰ V, ἀπόκρημνον A. 17 μόνψουεστία V.

τήν τε πόλιν ἀπέδειξεν αὖθις τὴν ἐκ τοῦ ποταμοῦ ἀκιν-
δύνως ἀναδουμένην εὐπρέπειαν.
8 Ἔστι δέ τις μετ' αὐτὴν Ἄδανα πόλις, ἧς δὴ ἐς τὰ
πρὸς ἀνίσχοντα ἥλιον ποταμὸς φέρεται Σάρος ὄνομα,
9 ἐκ τῶν ἐν Ἀρμενίοις ὀρῶν κατιών. ναυσίπορος δὲ ὁ
Σάρος ἐστὶ καὶ ἀνδράσι πεζοῖς οὐδαμῆ ἐσβατός. γέφυρα
οὖν ἐκ παλαιοῦ τῇδε ὑπερφυής τε ἀποτετόρνευται καὶ
10 λόγου ἀξία. γεγένηται δὲ τρόπῳ τοιῷδε. λίθων μὲν
εὐμεγεθῶν οἰκοδομίαι πολλαχῆ τοῦ ποταμοῦ ἐκ τῆς γῆς
ἐπανεστήκασιν ἐς μέγα τι πάχος διήκουσαι, καὶ τῷ πο-
ταμῷ κατὰ μὲν τὸ εὖρος ξυνεξικνούμεναι, τὸ δέ γε ὕψος
11 πολλῷ ὑπερβάλλουσαι τῷ ὑπεραίροντι. ὕπερθέν τε δυοῖν
κατὰ μέσον ἀψῖδες ἐν τῷ μετεώρῳ ἐπηρμέναι ἀνέχουσιν
ὕψους ἐς μέγα τι χρῆμα. ταύτης δὲ τῆς τῶν λίθων ξυν-
θήκης, ἣ κατὰ τὸ ὕδωρ οὖσα ἐτύγχανεν, ἅτε ῥοθίῳ μα-
χομένης πολλῷ, ἐπὶ χρόνου μῆκος ἀπέραντον ὅσον διε-
12 φθάρθαι τὰ πλεῖστα ξυνέβη. οὐκ εἰς μακράν τε ἡ γέ-
φυρα πᾶσα τῷ ποταμῷ ἐμπεσεῖσθαι ἐπίδοξος ἦν. ἐγί-
νετό τε ἀεὶ ἐν εὐχῇ τῶν διαβαινόντων ἑκάστῳ ἐν τῇ
κατ' αὐτὸν διαβάσει τὴν τοῦ χρόνου στιγμὴν διαμεῖναι
13 μόνον ἐν τῷ βεβαίῳ τὴν γέφυραν. ἀλλὰ βασιλεὺς Ἰου-
στινιανὸς ἑτέραν τινὰ τῷ ποταμῷ πορείαν ὀρύξας, ἐκεῖσε
μὲν αὐτὸν ἐπὶ καιροῦ μεταπορεύεσθαι διωθήσατο, ὕδα-
τος δὲ χωρὶς τὴν οἰκοδομίαν λαβών, ἧσπερ ἐπεμνήσθην
B 320 ἀρτίως, καὶ αὐτῆς τὰ πεπονθότα περιελὼν ἀνῳκοδομή-
σατο οὐδεμιᾷ μελλήσει, τόν τε ποταμὸν αὖθις ἐς τὴν
πρόσθεν ὁδὸν ἐπανήγαγεν, ἣν κοίτην καλοῦσι. ταῦτα
μὲν οὖν τῇδε κεχώρηκε.
14 Κύδνος δὲ ποταμὸς κατὰ πόλιν μέσην Ταρσὸν φέρεται.

7 ἀποτετόρευται A. 13 δυοῖν Dind.] δυεῖν V. 17 μακράν V] μακρόν A.

καὶ χρόνον μὲν τὸν ἄλλον οὐδὲν ἄχαρι διαπεπραγμένος
φαίνεται πώποτε, ἅπαξ δὲ αὐτῷ ξυνηνέχθη ποτὲ τὰ ἀνή-
κεστα διεργάσασθαι ἐξ αἰτίας τοιᾶσδε. τοῦ μὲν καιροῦ 15
ἀμφὶ τροπὰς ἐαρινὰς ἦν [ἡ ὥρα]· νότος δὲ ἄνεμος ἐξα-
πιναίως ἐπιπνεύσας πολὺς τὰς χιόνας διέλυσε πάσας,
αἷς δὴ χειμῶνος ὥρᾳ ἐπιπεσούσαις τὸ ὄρος ὁ Ταῦρος
ἐκεκάλυπτο σχεδόν τι ὅλον. ῥύακες οὖν ὑδάτων παντα- 16
χόθεν ξυνέρρεον τῶν ἐκείνῃ σκοπέλων, αἵ τε χαράδραι
χειμάρρους ἀφίεσαν πᾶσαι, καὶ κρήναις πολλαῖς αἵ τε
ὑπώρειαι καὶ οἱ πρόποδες ὀρῶν τῶν Ταυρείων κατάρ-
ρυτοι ἦσαν. τούτοις οὖν ὁ Κύδνος τοῖς ὕδασι κυματίας 17
γεγενημένος, ἐπεὶ ἐς αὐτὸν ἐν γειτόνων ὄντα ἐπεσέβαλ-
λον, ἅμα δέ οἱ καὶ ὄμβρων ἐπιγενομένων πολλῶν, τὰ
μὲν Ταρσέων προάστεια πάντα, ὅσα πρὸς μεσημβρίαν
τετραμμένα ἐτύγχανε, κατακλύσας εὐθὺς ἐξίτηλα τὸ πα- P 102
ράπαν ἐποίει· ἐπὶ τὴν πόλιν δὲ μορμύρων ᾔει καὶ τὰς
γεφύρας βραχείας οὔσας περιελὼν τάς τε ἀγορὰς συνεῖ-
χεν ἁπάσας τάς τε ἀγυιὰς ὑπερέβλυζε καὶ τοῖς οἴκοις καὶ
ὑπερῴοις ἐπιπολάζων ἐπὶ μέγα ἐχώρει. νύκτα τε καὶ 18
ἡμέραν ἡ πόλις ὅλη ἐν κινδύνῳ διαγέγονε καὶ σάλῳ
τοιούτῳ, καὶ μόλις ἐν ὑστάτῳ ὁ ποταμὸς οὗτος κατὰ
βραχὺ ἀπολωφήσας ἐν τοῖς εἰωθόσι γέγονεν αὖθις. ἅπερ 19
ἐπεὶ βασιλεὺς Ἰουστινιανὸς ἤκουσεν, ἐπενόει τοιάδε.
πρῶτα μὲν ἑτέραν πρὸ τῆς πόλεως διεσκευάσατο τῷ πο-
ταμῷ κοίτην, ὅπως ἐνταῦθα διασχιζόμενος ἑκατέρωθί τε
μερίζων τὸν ῥοῦν κατὰ ἥμισυ γεγονὼς μάλιστα ἐπὶ Ταρ- B 321
σὸν ἴοι. ἔπειτα δὲ τὰς γεφύρας παρὰ πολὺ εὐρυτέρας 20

4 ἡ ὥρα A] om. V. 7 ὑδάτων V] ὕδατος A. 11 ὁ V] om. A. 12 ἐγγειτόνων V. 12—13 ἐπεσέβαλλον V] ἐσέβαλλον A. 13 οἱ V] om. A. 16 ᾔει V] ἴοι A. 17 περιελὼν βραχείας οὔσας A. 22 ἀπολοφήσας A. 24—25 κοίτην τῷ ποταμῷ A.

11 BT Procop ed. Haury. Vol. IV cum addendis ed. Wirth [1737]

πεποιημένος κρείσσους ἀπειργάσατο εἶναι ἢ πλημμύροντι
βιασθῆναι τῷ Κύδνῳ. ταύτῃ τε διεπράξατο φόβου καὶ
κινδύνου ἐκτὸς ἐς πάντα τὸν χρόνον οἰκεῖσθαι τὴν πόλιν.

ς΄. Τὰ μὲν οὖν ἐν Κίλιξιν Ἰουστινιανῷ βασιλεῖ ταύτῃ
πῃ ἔσχεν. ἐν δὲ Ἱεροσολύμοις ἱερὸν τῇ θεοτόκῳ ἀνέ-
2 θηκεν, ᾧπερ ἄλλο εἰκασθῆναι οὐδὲν οἷόν τέ ἐστι. νέαν
ἐκκλησίαν καλοῦσι τὸ ἱερὸν οἱ ἐπιχώριοι· ὅπερ δὴ ὁποῖόν
ποτέ ἐστιν, ἐγὼ δηλώσω, τοσοῦτον ὑπειπών, ὡς ἡ πόλις
ἥδε λοφώδης μέν ἐστιν ἐκ τοῦ ἐπὶ πλεῖστον, οὐ γεώδεις
δὲ οἱ λόφοι εἰσίν, ἀλλ' ἔν τε τραχεῖ καὶ ἀποκρήμνῳ
ἐπανεστήκασι, τὰς ἀμφόδους ἐν κλίμακος τρόπῳ ἀπὸ τοῦ
3 ὀρθίου ἐς τὸ πρανὲς κατατείνοντες. τὰ μὲν οὖν ἄλλα
τῆς πόλεως οἰκοδομήματα ἅπαντα ἐφ' ἑνὸς χωρίου συμ-
βαίνει εἶναι, ἢ ἐπὶ λόφου πεποιημένα, ἢ ἐν τῷ χθαμαλῷ
κατὰ τὸ ἀναπεπταμένον τῆς γῆς, τοῦτο δὲ μόνον τὸ ἱερὸν
4 οὐ ταύτῃ πῃ ἔχει. ἐπέστελλε γὰρ αὐτὸ Ἰουστινιανὸς
βασιλεὺς ἐν τῷ προὔχοντι γενέσθαι τῶν λόφων, δηλώ-
σας ὁποῖον τά τε ἄλλα δεήσει καὶ τὸ εὖρος αὐτῷ καὶ
5 μῆκος εἶναι. οὐκ ἀπέχρησέ τε κατὰ τὴν βασιλέως ἐπί-
ταξιν πρὸς τοῦ ἔργου τὴν χρείαν ὁ λόφος, ἀλλὰ τοῦ
ἱεροῦ τὸ τεταρτημόριον ἀπελέλειπτο πρός τε ἄνεμον νό-
τον καὶ ἀνίσχοντά που τὸν ἥλιον, ἵνα δὴ ὀργιάζειν τοῖς
6 ἱερεῦσι θέμις. διὸ δὴ ἐπενόουν τάδε, οἷς τὸ ἔργον τοῦτο
ἐπέκειτο. ἀπορριψάμενοι τὰ θεμέλια εἰς γῆς τῆς ὑπτίας
τὰ ἔσχατα, οἰκοδόμημα πεποίηνται συνεπανεστηκὸς τῷ
7 σκοπέλῳ. ἐπειδή τε ἄνω κατὰ τὴν ἀκρωνυχίαν ἐγένοντο,
τῶν τοίχων καθύπερθε θόλους ἐνθέμενοι συνάπτουσι

8 ἢ V] ἢ μὲν A. 12 ἅπαντα V] σύμπαντα A. 13—14 ξυμβαίνει A. 16 ἔχει V] ἀνέχει A. 21 ἀπελέλειπτο A] ἀπολέλειπτο V. [illegible] πεποίηνται A] πεποίηται V. 26 ἀκρωνυχίαν V, ἀκρώρειαν A in rasura.

τὴν οἰκοδομίαν τῷ ἄλλῳ τοῦ τεμένους ἐδάφει. ταύτῃ 8 B 322
τε ὁ νεὼς πὴ μὲν ἐπὶ πέτρας ἰσχυρᾶς ἵδρυται, πὴ δὲ
ἠώρηται, τῆς τοῦ βασιλέως δυνάμεως μέγεθος ἄλλο ἐπι-
τεχνησαμένης τῷ λόφῳ. ταύτης δὲ δὴ τῆς οἰκοδομίας 9
οἱ λίθοι οὐ τοιοίδε εἰσὶ μέγεθος, ὁποίους ἴσμεν. πρὸς 10 P 103
γὰρ τοῦ χωρίου τὴν φύσιν οἱ ἐπιδημιουργοὶ τοῦ ἔργου
τοῦδε διαμαχόμενοι ὕψος τε ἀντιτεταγμένον τῷ σκοπέλῳ
διαπονούμενοι, τῶν ξυνειθισμένων ὠλιγωρηκότες ἁπάν-
των ἐπὶ τὰ παράδοξα καὶ ὅλως ἀγνῶτα τῶν ἐπιτηδευ-
μάτων ἐχώρουν. πέτρας οὖν ὑπερμεγέθεις ἐκ τῶν ὀρῶν 11
ὑποτεμνόμενοι, ἅπερ οὐρανομήκη ἐν τοῖς πρὸ τῆς πό-
λεως χωρίοις ἀνέχει, ξύσαντές τε αὐτὰς ἐπισταμένως,
ἐνταῦθα ἦγον τρόπῳ τοιῷδε. ἁμάξας μὲν ταῖς πέτραις 1[illegible]
ἐτεκτήναντο μεγέθει ἴσας, ἕνα δὲ λίθον ἐνετίθεντο ἁμάξῃ
ἑκάστῃ, βόες τε ἀριστίνδην πρὸς βασιλέως ξυνειλεγμένοι
κατὰ τεσσαράκοντα σὺν τῇ ἁμάξῃ τὸν λίθον ἐφεῖλκον.
ἀλλ' ἐπεὶ τὰς ἐς τὴν πόλιν φερούσας ὁδοὺς ταύτας δὴ 13
φέρειν τὰς ἁμάξας ἀμήχανα ἦν, ἐκτέμνοντες ἐπὶ πλεῖστον
τὰ ὄρη ἐσιτητὰ ταῖς ἐπιγενομέναις ἁμάξαις ἐποίουν, οὕτως
τε περιμήκη ἀπειργάσαντο τὸν νεών, ᾗπερ βουλομένῳ
τῷ βασιλεῖ ἦν. εὖρός τε αὐτῷ κατὰ λόγον πεποιημένοι, 14
τέγος ἐπιθεῖναι τῷ ἱερῷ ὡς ἥκιστα εἶχον. δρυμούς τε 15
οὖν καὶ δάση πάντα περιιόντες, καὶ εἴ πού τι χωρίον
ἠκούετο οὐρανομήκεσι κατάφυτον δένδροις, ὕλην τινὰ
εὗρον ἀμφιλαφῆ, κέδρους φέρουσαν ἐς ὕψος ἐξικνουμέ-
νας ἀπέραντον ὅσον, αἷς δὴ τὴν ὀροφὴν τῷ νεῷ ἔθεντο,

1 τεμένους V, A pr. m. corr.] μένους A pr. m. 2 νεὼς A] ναὸς V. πὴ — πὴ Dind.] πῆ — πῆ codd. 4 δὴ V] om. A. 5 οὐ τοιοίδε V] οὗτοι. οἱ μὲν * * * * οἱ δὲ A. 7 ἀντιτετασμένον A. 15 τε V] δὲ A. ξυνειλεγμένοι V] ἐξειλεγμένοι A. 18 ἐκτέμνοντες A] ἐντέμνοντες V. 19 ἐσιτιτὰ V. 26 αἷς V] οἷς A. ἔθεντο τῷ νεῷ A.

ὕψος αὐτῷ κατὰ μέτρον πεποιημένοι, ἐς ὅσον τε εὐρύ-
16 νεται καὶ ἐς τὸ μῆκος ἐξάγεται. ταῦτα μὲν οὖν δυνάμει
τε ἀνθρωπείᾳ καὶ τέχνῃ βασιλεὺς Ἰουστινιανὸς ἐξειργά-
B 323 σατο. ἐπέδωκε δὲ καὶ ἡ τῆς εὐσεβείας ἐλπὶς ἀμειβομένη
αὐτὸν τῇ τιμῇ, καὶ ξυνεπιλαμβάνουσα τὸ σπούδασμα
17 τοῦτο. τῷ μὲν γὰρ ἱερῷ πανταχόσε κιόνων ἔδει τό τε
εἶδος οὐκ ἀποδεόντων τοῦ ἀμφὶ τὸ τέμενος κάλλους καὶ
τοιούτων τὸ μέγεθος, οἷοι δὴ ὄντες ἀντέχειν ἐς τὸ ἄχθος
18 τῶν ἐγκειμένων σφίσιν ἔμελλον. ἡ δὲ χώρα ἐν τῇ μεσο-
γείᾳ κειμένη τῆς θαλάσσης πολλῷ ἄποθεν, ὄρεσί τε παν-
ταχόθεν ἀποπεφραγμένη ἀποτόμοις τισίν, ἧπέρ μοι εἴρη-
ται, ἄπορον τοῖς τεκταινομένοις τὸ ἔδαφος ἐποίει κίονας
19 ἑτέρωθεν εἰσκομίζεσθαι. ἀλλὰ βασιλέως δυσφορουμένου
τῇ τοῦ ἔργου ἀμηχανίᾳ, λίθου φύσιν ὁ θεὸς ἐπιτηδείως
ἐς τοῦτο ἔχουσαν ἐν τοῖς ἄγχιστα ὄρεσιν ἔδειξεν, ἢ οὖσάν
20 τε καὶ κρυπτομένην τὰ πρότερα, ἢ νῦν γενομένην. ἐπ'
ἀμφότερα δὲ πιστὸς ὁ λόγος τὴν αἰτίαν ἐπὶ τὸν θεὸν
21 ἀναφέρουσιν. ἡμεῖς μὲν γὰρ ἀνθρωπείᾳ δυνάμει πάντα
σταθμώμενοι πολλὰ ἐς τὸ ἀδύνατον ἀποκεκρίσθαι οἰό-
μεθα, τῷ δὲ θεῷ τῶν πάντων οὐδὲν οὔτ' ἂν ἄπορον οὔτ'
22 ἀμήχανον γένοιτο. κιόνων τοίνυν ἐνθένδε μέγα τι χρῆμα
ὑπερμεγεθῶν τε καὶ ἀπομιμουμένων τῷ χρώματι πυρός
τινα φλόγα, πανταχόθεν ὑποστηρίζουσι τὸν νεών, οἱ μὲν
ἔνερθεν, οἱ δὲ ὕπερθεν, οἱ δὲ ἀμφὶ τὰς στοὰς αἳ περι-
βάλλουσι τὸ ἱερὸν ὅλον, πλὴν τῆς πρὸς ἕω τετραμμένης
πλευρᾶς· ὧνπερ δύο ἱστᾶσι πρὸ τῆς τοῦ νεὼ θύρας ὑπερ-
P 104 φυεῖς ἄγαν καὶ τῶν ἐν γῇ τῇ πάσῃ κιόνων ἴσως οὐδενὸς
23 δεύτεροι. στοά τις ἐκδέχεται ἐντεῦθεν ἑτέρα ἐπὶ τοῦ

11 cf. ae. V 6, 2.

12 δυσφορωμένου V. 17 ἐπὶ V] ἐς A. 20 δὲ θεῷ V] θεῷ δὲ A.

νάρθηκος ὠνομασμένη, οἶμαι, τῷ μὴ εὐρύνεσθαι. αὐλὴ 24
μετὰ ταύτην κίοσιν ὁμοίοις ἐν τετραπλεύρῳ ἀνεχομένη·
θύραι μέταυλοι ἱεροπρεπεῖς οὕτως, ὥστε μηνύουσι τοῖς B 324
ἔξω ἰοῦσιν ὁποίῳ ποτὲ θεάματι ἐντυχεῖν μέλλουσι. προ-
πύλαια τὸ ἐνθένδε θαυμάσια οἷα, καί τις ἐπὶ κιόνων
δυοῖν ἐπαιρομένη ἀψὶς ἐς ἄφατον ὕψος. προϊόντι δὲ 25
πρόσω ἡμίκυκλα δύο, ἀλλήλοις ἀντιπρόσωπα ἑκατέρωθεν
τῆς ἐπὶ τὸ ἱερὸν ὁδοῦ ἑστᾶσι· ξενῶνες δὲ τῆς ἑτέρας ἐφ'
ἑκάτερα δύο, Ἰουστινιανοῦ βασιλέως ἔργον· ἅτερος μὲν
ξένοις ἐνδημοῦσι καταλυτήριον, ὁ δὲ δὴ ἕτερος ἀναπαυ-
στήριον νοσοῦσι πτωχοῖς. τοῦτον δὲ τὸν τῆς θεοτόκου 26
νεὼν Ἰουστινιανὸς βασιλεὺς καὶ προσόδῳ ἐτίμησε χρη-
μάτων μεγάλων. τὰ μὲν οὖν ἐν Ἱεροσολύμοις Ἰουστι-
νιανῷ βασιλεῖ ταύτῃ πῃ ἔσχεν.

ζ. Ἔστι δὲ πόλις ἐπὶ Παλαιστίνης, Νεάπολις ὄνομα·
ἐφ' ἧς δὴ ὄρος ὑψηλὸν ἀνέχει, Γαριζὶν ὄνομα. τοῦτο 2
δὲ τὸ ὄρος κατ' ἀρχὰς μὲν οἱ Σαμαρεῖται εἶχον· ὡς εὐξό-
μενοί τε ἀνέβαινον ἐς τὴν τοῦ ὄρους ὑπερβολήν, οὐδένα
ἀνιέντες καιρόν· οὐχ ὅτι νεών τινα ἐνταῦθα ᾠκοδομή-
σαντο πώποτε, ἀλλὰ τὴν ἀκρώρειαν αὐτὴν σεβόμενοι
ἐτεθήπεσαν πάντων μάλιστα. ἡνίκα δὲ Ἰησοῦς ὁ τοῦ 3
θεοῦ παῖς ἐν σώματι ὤν, τοῖς τῇδε ἀνθρώποις ὡμίλει,
γέγονεν αὐτῷ πρὸς γυναῖκα τῶν τινα ἐπιχωρίων διάλογος·
ταύτῃ τε ἐπὶ τῷ ὄρει πυνθανομένῃ ὑπεῖπεν ὡς χρόνῳ
ὕστερον οὐχ οἱ Σαμαρεῖται προσκυνήσουσιν ἐν τούτῳ τῷ
ὄρει, ἀλλ' ἐνταῦθα αὐτὸν οἱ ἀληθινοὶ προσκυνηταὶ προσ-
κυνήσουσι, τοὺς Χριστιανοὺς παραδηλώσας· ἐγένετό τε

24 ὑπεῖπεν] vid. Ioann. 4. Maccab. lib. II cap. 6, 2.

4—5 προπύλαια ⟨δὲ⟩ Maltr.] 6 δυοῖν scripsi] δυεῖν codd. 8 δὲ V] τε A. 11 τοῦτον V] τουτονὶ A. 14 ⟨πεπραγμένα⟩ ταύτῃ πῃ ἔσχεν Hoesch. 16 γαρίζιν hic et infra A.

4 προϊόντος τοῦ χρόνου ἔργον ἡ πρόρρησις. οὐ γὰρ οἷόν
τε ἦν μὴ οὐχὶ ἀψευδεῖν τὸν ὄντα θεόν. ἐγένετο δὲ τρόπῳ
5 τοιῷδε. ἐπὶ Ζήνωνος βασιλεύοντος ἀθρόοι ἐξαπιναίως
B 325 οἱ Σαμαρεῖται γενόμενοι ἐπεισπηδῶσιν ἐν Νεαπόλει τοῖς
Χριστιανοῖς ἐν τῇ ἐκκλησίᾳ τὴν Πεντηκοστὴν καλου-
μένην ἑορτὴν ἄγουσι, καὶ αὐτῶν τε πολλοὺς διαχρῶνται,
καὶ ὅσπερ ἦν αὐτοῖς ἐπίσκοπος τότε, Τερεβίνθιος ὄνομα,
P 105 καταλαβόντες ἐπὶ τῆς ἱερᾶς ἑστῶτα τραπέζης, καὶ ἱερουρ-
γοῦντα τὰ ἄρρητα ξίφεσι παίοντες, ἄλλως τε συγκόπτουσι
καὶ τοὺς τῶν χειρῶν ἀφαιροῦνται δακτύλους, ἔς τε τὰ
μυστήρια ὕβρισαν, ὡς δρᾶσαι μὲν Σαμαρείταις προσήκει,
6 σιωπᾶν δὲ ἡμῖν. ὁ δὲ ἱερεὺς οὗτος αὐτίκα ἐν Βυζαντίῳ
γενόμενος, τῷ τότε βασιλεῖ ἐς ὄψιν ἥκων, ἐπέδειξέ τε τὸ
πάθος καὶ τὰ ξυνενεχθέντα σημάνας καὶ τοῦ Χριστοῦ
τῆς προρρήσεως ὑπομνήσας, τιμωρὸν αὐτὸν ἐφ' ἅπασιν
7 ἐδεῖτο γενέσθαι. Ζήνων δὲ βασιλεὺς τοῖς ξυμπεπτωκόσι
ξυνταραχθείς, κόλασίν τε ἀποχρώντως ἐς τοὺς τὰ δεινὰ
δεδρακότας πεποίηται οὐδεμιᾷ ὀκνήσει· ἔκ τε ὄρους τοῦ
Γαριζὶν τοὺς Σαμαρείτας ἐξελάσας, εὐθὺς Χριστιανοῖς
τε αὐτὸ παραδίδωσιν, ἐκκλησίαν τε ἄνω δειμάμενος τῇ
θεοτόκῳ ἀνέθηκε, τειχισάμενος τὸ ἱερὸν τοῦτο δῆθεν τῷ
8 λόγῳ, τὸ δὲ ἀληθὲς ἀποτριγχώσας. καὶ φρουρὰν στρα-
τιωτῶν κατεστήσατο, κάτω μὲν ἐν τῇ πόλει πολλῶν, ἐν
9 δὲ τῷ τειχίσματι καὶ τῇ ἐκκλησίᾳ οὐ πλέον ἢ δέκα. οἷς
δὴ Σαμαρεῖται ἀχθόμενοι ἤσχαλλον μὲν ἐς τὰ μάλιστα
καὶ δυσφορούμενοι ἀπηξίουν τὰ σφίσι παρόντα, δέει δὲ
10 τῷ ἐκ βασιλέως δυσωπούμενοι σιωπῇ εἴχοντο. προϊόντος
δὲ χρόνου, Ἀναστασίου τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος,

3 Mal. 382, 10. Chron. Pasch. 603, 19. Bar-Hebr. 77.

2 ὄντα V] ὄντως A. 12 δὲ 2 V] om. A. 13 ἐς V] ἐπ' A. 21 τοῦτο Maltr.] τούτῳ codd.

τοιόνδε τι ξυνηνέχθη γενέσθαι. τινὲς τῶν Σαμαρειτῶν, 11
γυναικὸς ὑποθήκῃ ἀναπεισθέντες, ἀναβαίνουσι μὲν παρὰ
δόξαν κατὰ τὸ τοῦ ὄρους κρημνῶδες, ἐπεὶ τῆς ἀνόδου,
ἣ ἐκ τῆς πόλεως ἐνταῦθα ἄγει, ἐς τὸ ἀκριβὲς φυλασσο- B 326
μένης, ἐνθένδε αὐτοῖς ἀποπειρᾶσθαι τῆς ἀναβάσεως ἀδύ-
νατα ἦν. ἐν δὲ τῇ ἐκκλησίᾳ ἐξαπιναίως γενόμενοι κτεί- 12
νουσι μὲν τοὺς ἐνταῦθα φρουρούς, μετακαλοῦσι δὲ τοὺς
ἐν τῇ πόλει Σαμαρείτας φωνῇ ἐξαισίᾳ. οἱ δὲ τοὺς στρα- 13
τιώτας δειμαίνοντες συνεπιτίθεσθαι τοῖς ἐγκεχειρηκόσιν
οὐδαμῇ ἤθελον. οὐ πολλῷ τε ὕστερον ὁ τὴν χώραν ἐπι- 14
τροπεύων (Προκόπιος δὲ ἦν ἐξ Ἐδέσσης πόλεως, ἀνὴρ
λόγιος) τοὺς τὰ δεινὰ δεδρακότας συλλαβὼν ἔκτεινε.
τοῦ μέντοι ὀχυρώματος οὐδ' ὣς τις λόγος ἢ πρόνοια 15
παρὰ τοῦ βασιλέως τηνικάδε γεγένηται. ἀλλὰ νῦν Ἰου- 16
στινιανὸς βασιλεύς, καίπερ τοὺς Σαμαρείτας ἐκ τοῦ ἐπὶ
πλεῖστον ἐπὶ τὸ εὐσεβέστερον μεταθέμενος καὶ κατα-
στησάμενος Χριστιανοὺς εἶναι, τὸ μὲν παλαιὸν τῆς ἐν
τῷ Γαριζὶν ἐκκλησίας τείχισμα ἐφ' οὗπερ ἦν σχήματος
εἴασεν ἀποτετριγχωμένον, ἧπέρ μοι εἴρηται, ἑτέρῳ δὲ
αὐτὸ ἔκτοσθεν τείχει περιβαλὼν ἄμαχον διεπράξατο παν-
τάπασιν εἶναι. ἐνταῦθα δὲ καὶ ἱερὰ πέντε Χριστιανῶν 17
ἀνενεώσατο πρὸς τῶν Σαμαρειτῶν καταφλεχθέντα. ταῦτα
μὲν οὖν τῇδε εἴργασται.

η΄. Ἐν δὲ τῇ πάλαι μὲν Ἀραβίᾳ, νῦν δὲ Παλαιστίνῃ P 106
τρίτῃ καλουμένῃ, χώρα μὲν ἔρημος ἐπὶ μακρὸν κατα-
τείνει, καρπῶν τε καὶ ὑδάτων καὶ πάντων ἀγαθῶν ἄφο-
ρος. καὶ ὄρος ἀπότομόν τε καὶ δεινῶς ἄγριον ἀποκρέ-

2 μὲν V] om. A. 8 ἐξαισίᾳ V] ἐξαισίῳ A. 11 ἐδέσης V. 13 οὐδ' ὣς Maltr.] οὐχ ὣς V, οὐδ' ὃς A. 14 παρὰ V] πρὸς A. τηνικάδε A] om. V. 15 καίπερ V] om. A. 18 τείχισμα V] προτείχισμα A. 23 καταφλεχθέντα V] καταφλεγέντα A. 24 ἀραβία V pr. m.] ἀρραβία V corr., A.

μαται ἄγχιστά πῃ τῆς Ἐρυθρᾶς καλουμένης θαλάσσης,
2 Σινὰ ὄνομα. οὐδὲν δέ μοι ἀμφὶ τοῖς ἐκείνῃ χωρίοις
ἀναγράψασθαι ἀναγκαῖον ἐνταῦθα τοῦ λόγου, ἐπεὶ ἅπαν-
τά μοι τά τε κατὰ τὴν Ἐρυθρὰν θάλασσαν καὶ τὸν Ἀρα-
βικὸν καλούμενον κόλπον, Αἰθίοπάς τε τοὺς Αὐξωμίτας
B 327 καὶ τὰ τῶν Ὁμηριτῶν Σαρακηνῶν γένη ἀκριβολογουμένῳ
ἐν τοῖς ὑπὲρ τῶν πολέμων δεδήλωται λόγοις· ἵνα δὴ καὶ
τοῦτό μοι διδιήγηται, ὅντινα τρόπον Ἰουστινιανὸς βασι-
λεὺς τὸν Φοινικῶνα προσεποίησε τῇ Ῥωμαίων ἀρχῇ.
3 ταῦτα μὲν οὖν τούτου δὴ ἕνεκα λέγειν ἀφίημι, ὡς μὴ
4 ἀπειροκαλίας ἀνενέγκοιμι δόξαν. ἐν τούτῳ δὲ τῷ Σινᾷ
ὄρει μοναχοὶ ᾤκηνται, οἷς ἐστιν ὁ βίος ἠκριβωμένη τις
μελέτη θανάτου, ἐρημίας τῆς σφίσι φιλτάτης ἀδεέστερον
5 ἀπολαύουσι. τούτοις δὴ τοῖς μοναχοῖς Ἰουστινιανὸς βα-
σιλεὺς (ἐπεὶ οὐκ εἶχον οὐδὲν ὅτου ἐφεῖντο, ἀλλὰ κρείσ-
σους τῶν ἀνθρωπείων ἁπάντων εἰσίν, οὐδέ τι κεκτῆσθαι
οὐδὲ θεραπεύειν τὰ σώματα, οὐ μέντοι οὐδὲ ἄλλου ὁτου-
οῦν ὀνίνασθαι ἐν σπουδῇ ἔχουσιν) ἐκκλησίαν ᾠκοδομή-
σατο, ἥνπερ τῇ θεοτόκῳ ἀνέθηκεν, ὅπως δὴ αὐτοῖς ἐν-
6 ταῦθα ἐξῇ εὐχομένοις τε καὶ ἱερωμένοις διαβιῶναι. ταύ-
την δὲ τὴν ἐκκλησίαν οὐ κατὰ τοῦ ὄρους ἐδείματο τὴν
7 ὑπερβολήν, ἀλλὰ παρὰ πολὺ ἔνερθεν. ἀνθρώπῳ γὰρ ἐν
τῇ ἀκρωρείᾳ διανυκτερεύειν ἀμήχανά ἐστιν, ἐπεὶ κτύποι
τε διηνεκὲς καὶ ἕτερα ἄττα θειότερα νύκτωρ ἀκούονται,
δύναμίν τε καὶ γνώμην τὴν ἀνθρωπείαν ἐκπλήσσοντα.
8 ἐνταῦθά ποτε τὸν Μωσέα φασὶ πρὸς τοῦ θεοῦ τοὺς νό-
9 μους παραλαβόντα ἐξενεγκεῖν. ἐς δὲ τοῦ ὄρους τὸν πρό-

7 cf. I 101 ss. 8 cf. I 102, 2.

4—5 ἀρραβικὸν codd. 5 κόλπον V] πόντον A. αὐξο-ρίτας V. 13 φιλτάτης A] φιλτάτου V. 15 εἶχον Hoesch.] εἶχεν codd. 16 ἀνθρωπείων V] ἀνθρωπίνων A. 17—18 ὁτου-οῦν V] ὁτουοῦν A. 24 διηνεκὲς V] διηνεκεῖς A. ἄττα codd.

ποδα καὶ φρούριον ἐχυρώτατον ὁ βασιλεὺς οὗτος ᾠκο-
δομήσατο, φυλακτήριόν τε στρατιωτῶν ἀξιολογώτατον
κατεστήσατο, ὡς μὴ ἐνθένδε Σαρακηνοὶ βάρβαροι ἔχοιεν
ἅτε τῆς χώρας ἐρήμου οὔσης, ἧπέρ μοι εἴρηται, ἐσβάλ-
λειν ὡς λαθραιότατα ἐς τὰ ἐπὶ Παλαιστίνης χωρία.
ταῦτα μὲν οὖν τῇδε πεποίηται. ὅσα δὲ κἀν τοῖς μονα- 10
στηρίοις πεποίηται τοῖς τῇδέ τε ⟨καὶ⟩ κατὰ τὴν ἄλλην
ἑῴαν οὖσιν, αὐτίκα δή μοι ὡς ἐν κεφαλαίῳ γεγράψεται.

θ'. Μοναστήρια μὲν οὖν ἐν Ἱεροσολύμοις ἀνενεώ- B 328 P 107
σατο τάδε. τὸ τοῦ ἁγίου Θαλελαίου.
τὸ τοῦ ἁγίου Γρηγορίου. 2
τὸ τοῦ ἁγίου Παντελεήμονος ἐν τῇ ἐρήμῳ τοῦ Ἰορ-
δάνου. 3
ξενῶνα ἐν Ἱεριχῷ. 4
ἐκκλησίαν τῆς θεοτόκου ἐν Ἱεριχῷ. 5
τὸ τῶν Ἰβήρων ἐν Ἱεροσολύμοις. 6
τὸ τῶν Λαζῶν ἐν τῇ ἐρήμῳ Ἱεροσολύμων. 7
τὸ τῆς ἁγίας Μαρίας ἐν τῷ ὄρει τῶν Ἐλαιῶν. 8
τὸ τῆς πηγῆς τοῦ ἁγίου Ἐλισσαίου ἐν Ἱεροσολύμοις. 9
τὸ Σιλέθεως. 10
τὸ τοῦ ἀββᾶ Ῥωμανοῦ. 11
ἐν Βηθλεὲμ τὸ τεῖχος ἀνενέωσε. 12
τὸ τοῦ ἀββᾶ Ἰωάννου ἐν Βηθλεέμ. 13

Φρέατα δὲ ἢ δεξαμενὰς ᾠκοδομήσατο οὕτως· 14

εἰς τὸ τοῦ ἁγίου Σαμουὴλ φρέαρ καὶ τεῖχος. 15
εἰς τὸ τοῦ ἀββᾶ Ζαχαρίου φρέαρ. 16
εἰς τὸ Σωσάννης φρέαρ. 17

7 τε ⟨καὶ⟩ Hoesch.] om. V, τε A. 17 ἱεροσολύμων A] ἐν ἱεροσολύμοις V. 19 ἐλισαίου V. ἐν ἱεροσολύμοις V] ἱεροσολύμων A. 20 σιλεθέου A. 25 τὸ A] om. V. 26 τὸ A] om. V. 27 σωσάνης V.

18 εἰς τὸ Ἀφελίου φρέαρ.
19 εἰς τὸ τοῦ ἁγίου Ἰωάννου ἐν τῷ Ἰορδάνῃ φρέαρ.
20 εἰς τὸ τοῦ ἁγίου Σεργίου ἐν ὄρει καλουμένῳ Κισσερῶν φρέαρ.
[illegible] τὸ τεῖχος Τιβεριάδος.
[illegible] τὸ ἐν Βόστρᾳ πτωχεῖον.
23 Φοινίκης·
τὸν οἶκον τῆς θεοτόκου ἐν Πορφυρεῶνι.
[illegible] μοναστήριον τοῦ ἁγίου Φωκᾶ ἐν ὄρει.
25 τὸν οἶκον τοῦ ἁγίου Σεργίου ἐν Πτολεμαΐδι.
26 ἐν Δαμασκῷ οἶκον τοῦ ἁγίου Λεοντίου.
27 ὑπὸ Ἀπάμειαν πτωχεῖον τοῦ ἁγίου Ῥωμανοῦ ἀνενεώσατο.
28 τεῖχος τοῦ μακαρίου Μάρωνος.
29 ὑπὸ Θεούπολιν τὴν ἐκκλησίαν Δάφνης ἀνενέωσεν.
30 ἐν Λαοδικείᾳ τὸν ἁγίου Ἰωάννου ἀνενέωσε.
31 Μεσοποταμίας·
μοναστήριον τοῦ ἁγίου Ἰωάννου ἀνενέωσε.
[illegible] μοναστήρια Δέλφραχις, Ζηβίνου, Θεοδότου, Ἰωάννου, Σαρμαθῆς, Κυρήνου, Βεγαδαίου.
[illegible] μοναστήριον εἰς τὸ Ἀπάδνας ἐν Ἰσαυρίᾳ.
34 πόλεως Κουρίκου λουτρὸν ⟨καὶ⟩ πτωχεῖον ἀνενέωσε.
35 B 329 τὸ πτωχεῖον τοῦ ἁγίου Κόνωνος.
36 τὸν ἀγωγὸν αὐτοῦ ἀνενέωσεν ἐν Κύπρῳ.

1 τὸ Ἀφελίου] τοῦ ἀφελίου V, τὸ ἀφελείου A. 2 τὸ τοῦ A] τὸ om. V. τῷ A] om. V. 3 τὸ A] om. V. κισσερῶν V] κισσαίρων τὸ A. 12 et 15 ὑπὸ V] ὑπὲρ A. 15 θεούπ̄ο V. 16 ἁγίου ἰωάννου V] ἅγιον ἰωάννην A. 17—18 μεσοποταμίας — ἰωάννου ἀνενέωσε A] om. V. 19 μοναστήρια V] μοναστήριον A. δέλφραχις V] θελφράχης A. ζηβίνου V] ζιβύνου A. 20 κυρήνου V] κυρίνου A. 21 εἰς τὸ A] εἰς τ' V. 22 πόλεως A] πόλιν V. κουρίκου codd.] Κωρίκου conic. Maltr. ⟨καὶ⟩ addidit Maltr. ἀνενέωσε A] ἀνενεώσατο V.

οἶκον τοῦ ἁγίου Κοσμᾶ καὶ Δαμιανοῦ ἐν Παμφυλίᾳ. 37
πτωχεῖον τοῦ ἁγίου Μιχαὴλ ἐν Ἐμπορίῳ ἐπίκλην ἐπι- 38
νείου πόλεως Πέργης τῆς Παμφυλίας.

ΛΟΓΟΣ ϛʹ. B 330

αʹ. Ταῦτα μὲν Ἰουστινιανῷ βασιλεῖ τῇδε πεποίηται. P 108
ἐν δὲ Ἀλεξανδρείᾳ ἐξείργασται τάδε. Νεῖλος ποταμὸς
οὐκ ἄχρι ἐς τὴν Ἀλεξάνδρειαν φέρεται, ἀλλ' ἐπὶ πόλισμα
ἐπιρρεύσας, ὃ δὴ Χαιρέου ἐπονομάζεται, ἐπ' ἀριστερὰ τὸ
λοιπὸν ἵεται, ὅρια τά γε Ἀλεξανδρέων ἀπολιπών. διὸ 2
δὴ οἱ πάλαι ἄνθρωποι, ὡς μὴ ἀμοιροίη τὸ παράπαν ἡ P 109
πόλις, διώρυχα ἐκ τῆς Χαιρέου κατορύξαντες βαθεῖάν
τινα βραχείᾳ τοῦ ποταμοῦ ἐς αὐτὴν ἐκροῇ διεπράξαντο
ἐσιτητὰ εἶναι. οὗ δὴ καὶ ἄλλας τινὰς ἐκροὰς ἐκ λίμνης
Μαρίας ἐσβάλλειν ξυμβαίνει. ἐπὶ ταύτης δὲ τῆς διώ- 3
ρυχος μεγάλαις μὲν ναυσὶ πλώϊμα οὐδαμῇ γίνεται, ἐς
λέμβους δὲ τὸν Αἰγύπτιον σῖτον ἐκ τῆς Χαιρέου μεταβιβάσαντες, οὕσπερ καλεῖν διαρήματα νενομίκασιν, ἔς
τε τὴν πόλιν διακομίζουσιν, ἵνα δὴ ἐξικνεῖσθαι δυνατά
ἐστι τῷ κατὰ τὴν διώρυχα ποταμῷ, καὶ κατατίθενται ἐν
χώρῳ ὅνπερ Ἀλεξανδρεῖς καλοῦσι Φιάλην. ἀλλ' ἐπειδὴ 4 B 331
τῷ δήμῳ ἐς στάσιν πολλάκις καθισταμένῳ ἐνταῦθα διολωλέναι τῷ σίτῳ ξυνέβη, βασιλεὺς Ἰουστινιανὸς τειχίσματι τόνδε τὸν χῶρον περιβαλὼν τὴν ἐπὶ τῷ σίτῳ ἐπιβουλὴν ἀνεχαίτισε. ταῦτα μὲν οὖν Ἰουστινιανῷ βασιλεῖ
ταύτῃ ἐξείργασται. ἀλλ' ἐπειδὴ ἐπ' Αἰγύπτου ἡμᾶς ἤγαγε 5

2—3 ἐπηνείου A. 6 ἐπὶ A] ἐς V. 8 γε V] τε A. 11 ἐς αὐτὴν V] om. A. 11—12 ἐκροῇ — τινὰς omissa erant in V, sed in marg. adnotata sunt. 11 et 12 ἐκρρο- V. 12 τινὰς l. A] νὰς evanuit in V. 15—16 μεταβιβάσαντες V] καταβιβάσαντες A. 19 ἐπειδὴ V] ἐπεὶ A. 22 τὸν χῶρον τόνδε A. τῷ σίτῳ V] τὸν σῖτον A.

τῆς Λιβύης ὁμόρου τανῦν ὁ λόγος, φέρε δὴ καὶ ὁπόσα
διαπέπρακται αὐτῷ ἐνταῦθα δηλώσωμεν, ἐπεὶ καὶ Λιβύην
ξύμπασαν ὁ βασιλεὺς οὗτος ὑπὸ βαρβάροις κειμένην
εὑρὼν τῇ ἄλλῃ ἐνῆψε Ῥωμαίων ἀρχῇ.

6 Νεῖλος μὲν ὁ ποταμὸς ἐξ Ἰνδῶν ἐπ' Αἰγύπτου φερό-
μενος δίχα τέμνει τὴν ἐκείνῃ γῆν ἄχρι ἐς θάλασσαν. ἡ
δὲ σχιζομένη τῷ ῥείθρῳ καὶ ὀνόμασι διακέκριται τὸ ἐν-
7 θένδε δυοῖν. τὰ μὲν γὰρ ἐν δεξιᾷ τοῦ ποταμοῦ Ἀσία
ὠνόμασται μέχρι που ἐς Φᾶσιν τὸν Κόλχον, ὅσπερ Ἀσίαν
τε διορίζει καὶ γῆν τὴν Εὐρώπην, ἢ μέχρι ἐς πορθμεῖα
8 τὰ Κιμμέρια καὶ ποταμὸν Τάναϊν. τούτων γὰρ δὴ ἕνεκα
διαμάχονται πρὸς ἀλλήλους οἱ ταῦτα σοφοί, ᾗπερ ἐν
λόγοις μοι τοῖς ὑπὲρ τῶν πολέμων δεδήλωται περιηγου-
9 μένῳ τὸν Εὔξεινον καλούμενον πόντον. τὰ δὲ δὴ ἐν
ἀριστερᾷ τοῦ Νείλου Λιβύη ἐκλήθη μέχρι ἐς ὠκεανόν,
ὅσπερ ἐς δύοντά που τὸν ἥλιον ἑκατέραν ἤπειρον διορίζει,
ἐκροήν τε ἀφιεὶς τινα καὶ θάλασσαν τήνδε ποιούμενος.
10 ἡ μὲν οὖν ἄλλη Λιβύη ξύμπασα ὀνόματα κατὰ χώραν
ἑκάστην ἕτερα ἄττα διακεκλήρωται, ἐκ τῶν ἐκείνῃ ἐπι-
11 γενομένων, ὡς τὸ εἰκός, ἐπικληθεῖσα. ἡ μέντοι ἐκ τῶν
Ἀλεξανδρείας ὁρίων ἄχρι ἐς πόλιν Κυρήνην διήκουσα
ἐπὶ Πενταπόλεώς ἐστιν, ἐπὶ τούτου δὴ μόνου τοῦ ὀνό-
12 B 332 ματος Λιβύη καὶ νῦν ἐπικέκληται. ἐνταῦθα πόλις ἐστὶν
ἡμέρας ὁδῷ Ἀλεξανδρείας διέχουσα, Ταφόσιρις ὄνομα,
ἵνα δὴ ταφῆναι τὸν τῶν Αἰγυπτίων θεὸν Ὄσιριν λέγου-
13 σιν. ἐν ταύτῃ τῇ πόλει ἄλλα τε πολλὰ καὶ τὰ τῶν ἀρ-
χόντων καταλυτήρια καὶ λουτρῶνας ἐδείματο Ἰουστινια-
νὸς βασιλεύς.

12 cf. II 509, 10.

8 δυοῖν A] δυεῖν V. 17 ἐκροήν V corr. 19 ἄττα codd.

β'. Ταύτης δὲ τῆς Λιβύης ἔρημα μὲν τὰ πολλὰ τετύ- P 110
χηκεν εἶναι, ἀπημελημένα ἐκ τοῦ ἐπὶ πλεῖστον. καὶ 2
αὐτῆς δὲ προεγρηγορὼς ὁ καθ' ἡμᾶς βασιλεὺς προμηθεῖ
γνώμῃ, ὡς μή τι αὐτῇ παθεῖν ἐξ ἐπιδρομῆς πρὸς Μαυ-
ρουσίων τῶν πλησιοχώρων ξυμβαίη, ὀχυρώματά τε δύο
καὶ φυλακτήρια κατεστήσατο, ὧν θάτερον μὲν Παρατό-
νιον ὀνομάζουσιν, Ἀντίπυργον δὲ τὸ ἕτερον ἐπικέκληται,
οὐ πόρρω Πενταπόλεως κείμενον. διέχει δὲ ἡ Πεντά- 3
πολις Ἀλεξανδρείας ὁδῷ ἡμερῶν εἴκοσιν εὐζώνῳ ἀνδρί.
ἐν ταύτῃ δὲ τῇ Πενταπόλει καὶ βασιλεὺς Ἰουστινιανὸς 4
Τεύχειραν τὴν πόλιν ἐρύματι ἐτειχίσατο ἐχυρωτάτῳ. καὶ 5
Βερνίκης τὸν περίβολον ἐκ θεμελίων ἀνῳκοδομήσατο
τῶν ἐσχάτων. οὗ δὴ καὶ βαλανεῖον πεποίηται, δημοσίᾳ 6
παρεχόμενον τῇ πόλει τὴν χρείαν. ἀλλὰ κἀν ταῖς Πεν- 7
ταπόλεως ἐσχατιαῖς, αἵπερ εἰσὶ τετραμμέναι πρὸς ἄνεμον
νότον, ὀχυρώματα ἐν δυοῖν μοναστηρίοιν ἐξείργασται,
οἷσπερ Ἀγριολώδη τε καὶ Διναρθισον ὀνόματά ἐστιν·
ἅπερ ἐπιτειχίσματα κεῖται τοῖς ταύτῃ βαρβάροις, τῷ μὴ 8
καταθέοντας ὡς λαθραιότατα ἐπισκήπτειν ἐξαπιναίως ἐς
γῆν τὴν Ῥωμαίων.

Ἔστι δέ τις ἐνταῦθα πόλις, Πτολεμαῒς ὄνομα, τὸ μὲν 9
παλαιὸν εὐδαίμων τε γεγενημένη καὶ πολυάνθρωπος,
προϊόντος δὲ τοῦ χρόνου ὕδατος ἀπορίᾳ πολλῇ ἐς ὀλιγ-
ανθρωπίαν ἀποκριθεῖσα. τῶν γὰρ οἰκητόρων ὁ πολὺς 10 B 333
ὅμιλος δίψει ἐχόμενοι πολλῷ ἔμπροσθεν ἐνθένδε ἐξανα-
στάντες ἀπεχώρησαν ὅπῃ ἑκάστῳ δυνατὰ γέγονεν. ἀλλὰ 11
νῦν ὁ βασιλεὺς οὗτος ἀνανεωσάμενος τὴν ὀχεταγωγίαν
τῇ πόλει τὸ πρότερον αὐτῇ τῆς εὐδαιμονίας ἀπέδωκε

2 ἀπημελημένα] ἀπημένα superscr. μελη V. 11 ἐχυρωτάτῳ V] ὀχυρωτάτῳ A. 16 ἐν V] om. A. δυοῖν A] δυεῖν V. 22 τε V] om. A. 23 τοῦ V] om. A. 27 ὁ V] om. A. τὴν ὀχεταγωγίαν 1, A] τὴν ὀχεταγ evanuit in V.

σχῆμα. Πενταπόλεως δὲ πόλις ἐσχάτη ἐστὶ πρὸς δύοντά
12 που τὸν ἥλιον, Βόρειον ὄνομα. οὗ δὴ τὰ ὄρη συννενευ-
κότα τε πρὸς ἄλληλα, καὶ τῇ ἐνθένδε στενοχωρίᾳ ξυμ-
πεφραγμένα, τῶν ἐπὶ τὴν χώραν εἰσόδων ἀποκεκλεῖσθαι
13 τοὺς πολεμίους διασκευάζονται. ταύτην ὁ βασιλεὺς τὴν
πόλιν ἀτείχιστον οὖσαν ἐρύματι ἐχυρωτάτῳ περιβαλών,
ἐν τῷ ἀσφαλεῖ τὸ λοιπὸν βεβαιότατα σὺν πάσῃ τῇ ἀμφ'
αὐτὴν χώρᾳ διεπράξατο εἶναι.
14 Πόλεις δέ πού εἰσι δύο ἐπ' ὀνόματος ἑνὸς ᾠκημέναι.
15 Αὔγιλα γὰρ ἑκατέρα ἐκλήθη. αὗται τοῦ Βορείου διέ-
χουσιν ὁδῷ τεττάρων ἡμερῶν μάλιστα εὐζώνῳ ἀνδρί,
τετραμμέναι μὲν αὐτοῦ πρὸς ἄνεμον νότον, ἀρχαῖαι δὲ
οὖσαι καὶ τῶν οἰκητόρων ἀρχαιότροπα τὰ ἐπιτηδεύματα
ἔχουσαι· θρησκείαν γὰρ πάντες καὶ εἰς ἐμὲ τὴν τῆς πολυ-
16 θείας ἐνόσουν. ἐνταῦθα ἐκ παλαιοῦ τῷ τε Ἄμμωνι καὶ
17 P 111 Ἀλεξάνδρῳ τῷ Μακεδόνι ἀνέκειτο ἕδη. οἷς δὴ καὶ ἐσφα-
γιάζοντο μέχρι ἐς τὴν Ἰουστινιανοῦ βασιλείαν οἱ ἐπι-
18 χώριοι. ἦν δὲ καὶ ὅμιλος αὐτοῖς τῶν ἱεροδούλων καλου-
μένων πολύς. νῦν δὲ δὴ ὁ βασιλεὺς οὗτος οὐχ ὅσον ἐς
τὰ σώματα τοῖς κατηκόοις ἐκποριζόμενος τὴν ἀσφάλειαν,
ἀλλὰ καὶ τὰς ψυχὰς διασώσασθαι ἐν ἐπιμελείᾳ ποιούμε-
νος, καὶ τῶν ταύτῃ ᾠκημένων ἀνθρώπων κατὰ πάντα
19 προὐνόησε τρόπον. τά τε γὰρ ἄλλα διαφερόντως αὐτῶν
ἐπιμελεῖσθαι οὐδαμῇ ἀπηξίωσε καὶ τὴν τῆς εὐσεβείας
B 334 ἐδίδαξε δόξαν Χριστιανοὺς πανοικεσίᾳ πεποιημένος καὶ
μεταπορευόμενος λελυμασμένα σφίσι τὰ πάτρια ἤθη.

2 που τὸν V] om. A. βόριον V, βορεῖον A. 3—4 ξυμπεφραγμένα V, συμπεφραγμένα A. 6 ὀχυρωτάτῳ A. 10 γὰρ A] om. V. βορίου V. 14 καὶ V] om. A. 21 ἐν V] om. A. 21—22 ποιούμενος A] ποιησάμενος V. 24 ἐπιμελεῖσθαι A] ἀπημελῆσθαι V. 25 πεποιημένος V] πεποιημένους A. 26 μεταπορευόμενος Maltr.] μεταπορευομένους codd.

οἷς δὴ καὶ νεὼν τῆς Θεοτόκου ἐδείματο, φυλακτήριον 20
ταῖς πόλεσι τῆς τε σωτηρίας καὶ τῆς ἀμφὶ τῇ δόξῃ ἀλη-
θείας ἐσόμενον. ταῦτα μὲν οὖν τῇδέ πῃ ἔσχε.
Βόρειον δὲ ἡ πόλις Μαυρουσίοις γειτνιῶσα βαρβά- 21
ροις φόρου ὑποτελὴς οὐ γεγένηται ἐς τόδε τοῦ χρόνου·
οὐδέ τινες πώποτε δασμολόγοι ἢ φορολόγοι ἐς αὐτὴν
ἵκοντο, ἐξ οὗ γεγόνασιν ἄνθρωποι. οἱ δὲ Ἰουδαῖοι 22
ᾤκηντο ἐκ παλαιοῦ αὐτῶν ἄγχιστα· οὗ δὴ καὶ νεὼς ἦν
ἀρχαῖος αὐτοῖς, ὅνπερ ἐσέβοντό τε καὶ ἐτεθήπεσαν μά-
λιστα, δειμαμένου τοῦτο Σολομῶνος, ὥσπερ φασί, βασι-
λεύοντος Ἑβραίων τοῦ ἔθνους. ἀλλὰ καὶ αὐτοὺς ἅπαν- 23
τας Ἰουστινιανὸς βασιλεὺς μεταγνῶναί τε τὰ πάτρια ἤθη,
καὶ Χριστιανοὺς γεγονέναι διαπραξάμενος, τοῦτον δὴ
τὸν νεὼν ἐς ἐκκλησίας μεθηρμόσατο σχῆμα.
γ'. Μετὰ τούτους αἱ Σύρτεις εἰσὶν αἱ μεγάλαι ὠνο-
μασμέναι. ἐφ' οὗ δέ εἰσι σχήματος αὗται, καὶ ὅτου δὴ
ἕνεκα τούτου μεταλαγχάνουσι τοῦ ὀνόματος, ἐγὼ δηλώσω.
προβέβληταί τις ἐνταῦθα ἠϊών· σχιζομένη δὲ αὐτὴ τῇ 2
τῆς θαλάσσης ἐπιρροῇ, τῷ τε ῥοθίῳ ἀφανιζομένη, ἀπο-
βαίνειν δοκεῖ, καὶ ἐφ' ἑαυτὴν ὑποχωροῦσα ὀπίσω ἰέναι·
ἐς κόλπον δὲ μηνοειδῆ ἐπὶ μακρότατον τέτραπται. καὶ 3
ὁ μὲν ἀρχομένης πλευρᾶς διάπλους ἐς τετρακοσίους διή-
κει σταδίους· τοῦ δὲ μηνοειδοῦς τὸ περίμετρον ἐς ἡμε-
ρῶν ἓξ ὁδὸν κατατείνει. ταύτης γὰρ ἡ θάλασσα πεπιε- 4
σμένη τῆς ἠπείρου ἐντὸς τὸν κόλπον ποιεῖται. ἐπειδάν 5
τε ναῦς ἀνέμῳ ἢ κλύδωνι βιαζομένη τοῦ διάπλου ἐντὸς
ὑπὲρ τοῦ μηνοειδοῦς τὴν ἀρχὴν γένηται, τὸ ἐνθένδε B 335
αὐτῇ ἐπανιέναι ἀμήχανά ἐστιν, ἀλλὰ συρομένη τὸ λοιπὸν

4 βόρειον A] βόριον V. 6 δασμολόγοι A] δασμοφόροι V. 10 Σολομῶνος Maltr.] σολομῶντος V. 17 τούτου V] τοῦδε A. 18 ἠών A. αὐτῇ A. 20 ἑαυτὴν V] ἑαυτῆς A.

6 ἔοικε, καὶ διαφανῶς ἐπίπροσθεν ἀεὶ ἑλκομένη. καὶ ἀπ' αὐτοῦ, οἶμαι, τὸν χῶρον οἱ πάλαι ἄνθρωποι τοῦ πάθους 7 τῶν νεῶν ἕνεκα Σύρτεις ὠνόμασαν. οὐ μὴν οὐδὲ διανεῦσαι τοῖς πλοίοις ἄχρι ἐς τὴν ἠϊόνα δυνατὰ γεγένηται. πέτραι γὰρ ὕφαλοι διακεκληρωμέναι τὰ πλεῖστα τοῦ κόλπου πλώϊμα οὐ ξυγχωροῦσιν ἐνταῦθα εἶναι, ἀλλ' ἐν τοῖς 8 P 112 βράχεσι τὰς ναῦς διαχρῶνται. μόνοις δὲ τοῖς λέμβοις οἱ πλωτῆρες τούτων δὴ τῶν νηῶν οἷοί τέ εἰσι διασώζεσθαι, ἂν οὕτω τύχοι, μετὰ κινδύνων τὰς διεξόδους ποιούμενοι.

9 Τριπόλεως τῇδε τῆς καλουμένης τὰ ὅριά ἐστι. Μαυρούσιοί τε βάρβαροι ἐνταῦθα οἰκοῦσι, Φοινικικὸν ἔθνος. 10 οὗ δὴ καὶ πόλις ἐστὶ Κιδαμὴ ὄνομα. ἐνταῦθά τε Μαυρούσιοι ᾤκηνται Ῥωμαίων ἔνσπονδοι ἐκ παλαιοῦ ὄντες· οἵπερ ἅπαντες πεισθέντες Ἰουστινιανῷ βασιλεῖ, δόγματι 11 τῷ Χριστιανῶν ἐθελούσιοι προσεχώρησαν. Πακᾶτοι δὲ οὗτοι τανῦν οἱ Μαυρούσιοι ἐπικαλοῦνται, ἐπεὶ πρὸς Ῥωμαίους ἀεὶ σπονδὰς ἔχουσι. πάκεν γάρ τὴν εἰρήνην 12 τῇ Λατίνων καλοῦσι φωνῇ. Πενταπόλεως δὲ Τρίπολις ἡμερῶν διέχει ὁδῷ εἴκοσιν εὐζώνῳ ἀνδρί.

δʹ. Πόλις ἐνθένδε ἡ Λεπτιμάγνα ἐκδέχεται, μεγάλη μὲν καὶ πολυάνθρωπος τὸ παλαιὸν οὖσα, ἔρημος δὲ χρόνῳ ὕστερον γεγενημένη ἐκ τοῦ ἐπὶ πλεῖστον, ψάμμου 2 τε πλήθει τὰ πολλὰ τῷ ἀπημελῆσθαι καταχωσθεῖσα. καὶ ταύτης δὲ τὸν περίβολον ἐκ τῶν θεμελίων ὁ καθ' ἡμᾶς B 336 ᾠκοδομήσατο βασιλεύς, οὐ τοσοῦτον μέντοι, ὅσος τὸ πρότερον ἦν, ἀλλὰ κατὰ πολὺ ἥσσονα, ὡς μὴ τῷ μεγέθει

4 γεγένηται A] γένηται V. 8—9 οἷοί — διασώζεσθαι l, A] ιοί τέ εἰσι διασ evanuerunt in V. 12 φοινικὸν A. 16 πάκατοι codd. 18 πάκεν V] πάκα A. 19 τῇ Λατ. κ. φωνῇ omissa erant in V, sed in margine adnotata sunt. 24—25 καὶ ταύτης δὲ V] ἀλλὰ καὶ ταύτης A.

σφαλερὰ καὶ αὖθις ἡ πόλις εἴη, καὶ πολεμίοις μὲν ἁλωτή, ψάμμῳ δὲ πρόχειρος. 3 νῦν δὲ δὴ τῆς πόλεως τὸ μὲν καταχωσθὲν ἐφ' οὗπερ ἦν σχήματος εἴασεν οὕτω δὴ ψάμμῳ ἐς λόφους συνειλεγμένῃ κεκαλυμμένον, τὴν δὲ λοιπὴν ἐτειχίσατο ἐν τῷ τῆς οἰκοδομίας ἐχυρῷ μάλιστα. 4 καὶ ἱερὸν μὲν ἀξιοθέατον τῇ θεοτόκῳ τῇδε ἀνέθηκεν, ἐκκλησίας δὲ τέτταρας ἐδείματο ἄλλας. 5 πρὸς δὲ καὶ ἀνῳκοδομήσατο τὰ τῇδε γεγονότα ἐν τοῖς ἄνω χρόνοις καὶ καταπεπτωκότα βασίλεια, Σεβήρου βασιλέως τοῦ παλαιοῦ ἔργον· ὃς δὴ ἐνθένδε ὁρμώμενος μνημεῖα τῆς εὐδαιμονίας τὰ βασίλεια τάδε ἀπέλιπεν.

6 Ἀλλὰ γὰρ ἐνταῦθα γενόμενος τοῦ λόγου τὸ ξυνενεχθὲν ἐπὶ Λεπτιμάγνης ἐν χρόνῳ τῷ καθ' ἡμᾶς ὡς ἥκιστα σιωπήσομαι. ἤδη μὲν Ἰουστινιανοῦ τὴν βασιλείαν παραλαβόντος, οὔπω δὲ πόλεμον τὸν Βανδιλικὸν ἀνῃρημένου, Μαυρούσιοι βάρβαροι, οἱ Λευάθαι καλούμενοι, βιασάμενοι τοὺς Λιβύης τότε κυρίους Βανδίλους, ἔρημον ἀνθρώπων τὴν Λεπτιμάγναν παντάπασι κατεστήσαντο. 7 ἐν χώροις δὲ λοφώδεσι ξὺν τοῖς ἡγεμόσι διατριβήν τινα ἔχοντες Λεπτιμάγνης οὐ πολλῷ ἄποθεν, φλόγα πυρὸς ἐξαπιναίως ἐν μέσῃ τῇ πόλει τεθέανται. 8 πολεμίους τε ὑποτοπήσαντες ἐνδήμους ἐνταῦθα γενέσθαι, δρόμῳ ἐπ' αὐτοὺς ἐβοήθουν πολλῷ. 9 ἀνθρώπων τε οὐδένα εὑρόντες ἐπὶ τοὺς μάντεις τὸ πρᾶγμα ἦγον, οἳ δὴ τῷ ξυμβεβηκότι P 113 τεκμηριούμενοι τὴν Λεπτιμάγναν οὐκ εἰς μακρὰν οἰκισθήσεσθαι προὔλεγον. 10 οὐ πολλῷ τε ὕστερον ἀφικόμενος ὁ τοῦ βασιλέως στρατὸς Λιβύην τε τὴν ἄλλην καὶ Τρίπολιν ἔσχε, Βανδίλων τε καὶ Μαυρουσίων καθυπέρτερος B 337

7—8 ἀνῳκοδομήσατο A] ἀνοικοδομήσατο V. 13 Λεπτιμάγνης Wahler] -ας codd. 16 Λευάθαι V, Λευκάθαι edd. 21 τῇ V] om. A. 23 ἀνθρώπων V] ἄνθρωπον A. 25 τὴν V] om. A. 26 τε V] om. A.

τῷ πολέμῳ γεγενημένος. ἐγὼ δὲ ὅθεν τὴν ἐκβολὴν τοῦ
λόγου ἐποιησάμην ἐπάνειμι.
11 Ἐν ταύτῃ τῇ πόλει βασιλεὺς Ἰουστινιανὸς καὶ λου-
τρῶνας ἐν δημοσίῳ πεποίηται, τόν τε περίβολον τῆς πό-
λεως ἐκ θεμελίων τῶν ἐσχάτων ᾠκοδομήσατο, καὶ τοῖς
τε βαλανείοις τοῖς τε ἄλλοις πᾶσιν ἐς πόλεως αὐτὴν κατε-
12 στήσατο σχῆμα. τούς τε πλησιοχώρους αὐτῇ βαρβάρους,
οἳ Γαδαβιτανοὶ ἐπικαλοῦνται, κατακόρως ἐς τόδε τοῦ
χρόνου τὴν Ἑλληνικὴν καλουμένην ἀθεΐαν δοξάζοντας,
Χριστιανοὺς διεπράξατο γενέσθαι τανῦν προθυμίᾳ τῇ
13 πάσῃ. ἀλλὰ καὶ Σαβραθὰν ἐτειχίσατο πόλιν, οὗ δὴ καὶ
λόγου ἀξίαν πολλοῦ ἐκκλησίαν ἐδείματο.
14 Πόλεις δὲ δύο εἰσὶ ταύτης ἐν ἐσχάτῳ τῆς χώρας, Τά-
καπά τε καὶ Γίργις, ὧν δὴ κατὰ μέσον Σύρτεις τὰς μι-
15 κρὰς ξυμβαίνει εἶναι. ἐνταῦθα γίνεταί τι ἐς ἡμέραν
ἑκάστην θαυμάσιον ἡλίκον. ἡ θάλασσα ἐν στενῷ θλι-
βομένη ἀπεργάζεται μηνοειδῆ κόλπον, ἧπερ γίνεσθαι καὶ
16 ⟨κατὰ⟩ τὰς ἄλλας Σύρτεις ἐρρήθη. ἀναβαίνει δὲ εἰς τὴν
ἤπειρον πλέον ἢ ὁδῷ ἡμέρας εὐζώνῳ ἀνδρί, ἀμφί τε τὰ
πρὸς ἑσπέραν ἐπάνεισιν αὖθις, ἐπιλιποῦσα ἐπὶ ξηροῦ
17 τὴν ἠιόνα ταύτην κατὰ ταὐτὰ ταῖς ἄλλαις ἀκταῖς. οἵ τε
ναῦται εἰς τὴν ἤπειρον ἀναγόμενοι θάλασσαν ἐπὶ καιροῦ
γεγενημένην, τῆς μὲν ἡμέρας ὡς πορρωτάτω τὰ εἰωθότα
ναυτίλλονται, ἀμφὶ δείλην δὲ πάντως ὀψίαν ὡς ἐν γῇ
αὐλισόμενοι συσκευάζονται, κοντούς τινας ἐν παρασκευῇ
18 μακροὺς ἔχοντες. ἐπειδάν τε τάχιστα τοῦ ῥοθίου αἴσθων-
ται ὑπόπτως ἐς τὴν ἀναχώρησιν ἔχοντος, οἵδε τοὺς κον-
B 358 τοὺς ἔχοντες καὶ διαχειρίζοντες ἐκπηδῶσιν [ἐν] ὀκνήσει

8 ἐπικαλοῦνται V] καλοῦνται A. 11 σαβραθὰν V] σαβαθρὰν A. 17—18 καὶ ⟨κατὰ⟩ scripsi] καὶ codd., κατὰ Maltr. 19 πλέον A] πλεῖον V 21 ταυτὰ V] ταῦτα A. 24 δὲ A] τε V. 28 ἐν codd.] inclusit Braun.

οὐδεμιᾷ ἐκ τῆς νεώς. νηχόμενοι δὲ πρῶτον, εἶτα ἑστή- 19
κασιν, ἡνίκα ἂν σφίσι τὸ ὕδωρ οὐχ ὑπεραίροι τὰ πρόσ-
ωπα. ἔκ τε τῶν ἄκρων τοὺς κοντοὺς ἐπὶ τῆς γῆς προσ- 20
ουδίσαντες ἐν ξηρῷ ἤδη γεγενημένης ἢ ἐσομένης αὐτίκα
δὴ μάλα, ὀρθοὺς ἱστᾶσιν, ὑποκεισομένους τῷ πλοίῳ καὶ
μετεωρίσοντας ἑκατέρωθεν, ὡς μὴ ἐπικλῖναν ἐπὶ θάτερα
συντριβὲς γένηται. τῇ δὲ ὑστεραίᾳ ὄρθρου βαθέος ἡ 21
μὲν ἤπειρος μεταμφιασαμένη τὴν θάλασσαν ἐπικυρτοῦται
κυμαίνουσα, τὰ δὲ πλοῖα ἐπαιρόμενα πλεῖ. οἵ τε ναῦται 22
περιελόντες ἐπικαιριώτατα τοὺς κοντοὺς ναυτίλλονται
αὖθις. παράλλαξίν τε οὐδεμίαν τοῦ ἔργου γενέσθαι ξυμ- 23
βαίνει, ἀλλ' ἐς ἡμέραν ἑκάστην ἡ τῶν στοιχείων διαδοχὴ
ἐπιγίνεται.
εʹ. Μετὰ δὲ Τρίπολίν τε καὶ Σύρτεις ἡμεῖς ἐπὶ Λιβύην P 114
τὴν ἄλλην ἴωμεν. ἀρκτέον δὲ ἡμῖν ἐκ Καρχηδόνος, ἣ 2
μεγίστη τε καὶ ἀξιολογωτάτη τῶν τῇδε πόλεων τυγχάνει
οὖσα, τοσοῦτον πρότερον ὑπειποῦσιν, ὡς ἡνίκα Γιζέριχός
τε καὶ Βανδίλοι Λιβύην ἔσχον, ἐνθύμημα ἐπιγέγονεν
αὐτοῖς ἀξιώλεθρόν τε καὶ πρέπον βαρβάροις. ἄμεινον 3
γὰρ ἐλογίσαντο σφίσι τὰ πράγματα ἕξειν ἀτειχίστων
ὄντων τῶν τῇδε χωρίων, ὡς μή τι καταλαβόντες αὐτῶν
Ῥωμαῖοι Βανδίλους κακουργεῖν ἔχοιεν. ἅπαντα οὖν τὰ 4
τείχη ἐς τὸ ἔδαφος καθεῖλον εὐθύς. βάρβαροι γὰρ ἅπαν-
τες ἐκ τοῦ ἐπὶ πλεῖστον ἐπὶ πονηρῷ τῷ Ῥωμαίων βου-
λεύονται μὲν ὡς ὀξύτατα, ἐπιτελοῦσι δὲ ὡς ταχύτατα,
ὅσα ἂν αὐτοῖς δοκοῦντα εἴη. μόνον δὲ αὐτοῖς τό τε 5
Καρχηδόνος καὶ ὀλίγα ἄττα ἐφ' οὗπερ ἦσαν σχήματος

22 cf. I 332, 18.

1 ἐκ V] om. A. 2 ὑπεραίροι V] ὑπεραίρῃ A. 16 τε καὶ V rec. m. corr.] τε V pr. m. 18 βάνδιλοι V. 24 τῷ A] τῶν V. 26 Post αὐτοῖς legimus in V: καὶ αὐτὰ δὲ διεφθάρη τῷ χρόνῳ.

ἔμειναν, ὥνπερ ἐπιμελεῖσθαι ἀπαξιοῦντες, διαφθορεῖν
6 αὐτὰ τῷ χρόνῳ ἀφῆκαν. βασιλεὺς δὲ Ἰουστινιανὸς (ἀν-
B 339 θρώπων μὲν οὐδενὸς ἐπαινοῦντος, ἀλλὰ καὶ πεφρικότων
τὸ ἔργον ἁπάντων, μόνου δὲ τοῦ θεοῦ εἰσηγουμένου τε
καὶ ἐπαγγελλομένου καὶ ξυλλαμβάνοντος) Βελισάριόν τε
καὶ στράτευμα ἐπὶ Λιβύην πέμψας, Γελίμερά τε καὶ
δύναμιν τὴν Βανδίλων καθεῖλε, πολλοὺς μὲν κτείνας
τοὺς δὲ λοιποὺς δορυαλώτους πεποιημένος, ᾗπέρ μοι ἐν
7 λόγοις τοῖς ὑπὲρ τῶν πολέμων δεδήλωται. καὶ τὰ μὲν
καθῃρημένα τῶν ἐν Λιβύῃ ὀχυρωμάτων ἀνενεώσατο
ἅπαντα, ἕτερα δὲ παμπληθῆ ἐπετεχνήσατο νεοχμώσας
αὐτός.

8 Πρῶτα μὲν οὖν Καρχηδόνος, τῆς νῦν καὶ Ἰουστινια-
νῆς, ὡς τὸ εἰκός, καλουμένης ἐπεμελήσατο, διερρυηκότα
μὲν τὸν περίβολον ἀνοικοδομησάμενος ἅπαντα, καὶ τά-
9 φρον ἐν περιδρόμῳ διορύξας οὐ πρότερον οὖσαν. ἀνέ-
θηκε δὲ καὶ ἱερὰ τεμένη, τῇ μὲν θεοτόκῳ, ὅπερ ἐν Πα-
λατίῳ ἐστί, καὶ τούτου ἐκτὸς τῶν τινι ἐπιχωρίων ⟨ἁγίων⟩
10 ἁγίᾳ Πρίμῃ. ἔτι μέντοι καὶ στοὰς ἑκατέρωθι τῆς Μαρι-
τίμου ἀγορᾶς καλουμένης ἐδείματο, καὶ βαλανεῖον ἐν
δημοσίῳ ἀξιοθέατον, ὅπερ ἐπωνύμως τῇ βασιλίδι Θεο-
11 δωριανὰς ἐπωνόμασαν. ἐδείματο δὲ καὶ μοναστήριον τοῦ
περιβόλου ἐντὸς ἐπιθαλασσίδιον, ἄγχιστα τοῦ λιμένος,
ὅπερ Μανδράκιον ὀνομάζουσιν, ἐρύματί τε αὐτὸ ἐχυρω-
τάτῳ περιβαλὼν φρούριον ἀνανταγώνιστον ἀπειργάσατο.

3 cf. I 355, 18. 9 cf. I 457, 13.

1—2 ὤνπερ — ἀφῆκαν V] καὶ αὐτὰ δὲ διεφθάρη τῷ χρόνῳ A. 1 διαφθορεῖν Maltr.] διαφθορεῖ V. 2 βασιλεὺς A] καὶ βασιλεὺς V. 6 ἐπὶ V] ἐς A. 7 τὴν scripsi] τῶν codd. 10 ἐν A] ἐπὶ V. 11 ἐπετεχνήσατο V] μετετεχνήσατο A. 17—18 παλλατίῳ V, παλαντίῳ A. 18 ⟨ἁγίων⟩ addidit Maltr.] om. codd. 21 ἐπωνύμως V] ὁμωνύμως A. 24—25 ἐχυρωτάτῳ V corr.] ἐχυρωτάτο V pr. m., ὀχυρωτάτῳ A.

Ταῦτα μὲν οὖν ἐπὶ Καρχηδόνος τῆς νέας Ἰουστι- 12
νιανῷ εἴργασται. ἐν δὲ χώρᾳ τῇ ἀμφ' αὐτήν, ἣ Προ-
κονσουλαρία ὠνόμασται, πόλις ἀτείχιστος ἦν, Βάγα ὄνομα,
μὴ ὅτι βαρβάροις ἐπιοῦσιν, ἀλλὰ καὶ τύχῃ τινὶ παριοῦσιν P 115
ἁλωτὴ οὖσα. ταύτην ἐρύματι ἐχυρωτάτῳ περιβαλὼν 13 B 340
Ἰουστινιανὸς βασιλεὺς πόλιν τε διεπράξατο εἶναι καὶ
τοὺς οἰκήτορας ἐν τῷ ἀσφαλεῖ διασώσασθαι οἵαν τε εἶναι.
οἳ δὴ τετυχηκότες τῆς χάριτος ἐς τὴν τῆς βασιλίδος 14
τιμὴν Θεοδωριάδα καλοῦσι τὴν πόλιν. φρούριον δὲ 15
ᾠκοδομήσατο ἐν ταύτῃ τῇ χώρᾳ, ὃ Τούκκα καλοῦσιν.

ϛʹ. Ἐν Βυζακίῳ δὲ πόλις, Ἀδράμυτος ὄνομα, ἐν τῇ
παραλίᾳ οἰκεῖται, μεγάλη καὶ πολυάνθρωπος ἐκ παλαιοῦ
οὖσα, καὶ δι' αὐτὸ τὸ τῆς μητροπόλεως ὄνομά τε καὶ
ἀξίωμα κληρωσαμένη ἐν ταύτῃ τῇ χώρᾳ, ἐπεὶ πρώτην
αὐτὴν μεγέθει τε καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ ξυμβαίνει
εἶναι. ταύτης Βανδίλοι μὲν τὸν περίβολον ἐς ἔδαφος 2
καθεῖλον, ὡς μή ποτε Ῥωμαῖοι αὐτῆς ἀντιλαβέσθαι δυ-
νατοὶ εἶεν. Μαυρουσίοις τε καταθέουσι τὰ ἐκείνῃ χωρία
ἐν ἐπιτηδείῳ ἀπέκειτο. Λίβυες δὲ κατὰ ταύτην οἰκήτο- 3
ρες, ὅσα γε δυνατὰ τῆς σφῶν σωτηρίας ἐπιμελούμενοι,
τὰ διῃρημένα τῶν τοίχων ἀποτριγχώσαντες, τὰς οἰκίας
ἀλλήλαις ἐνῆψαν· ἐξ ὧν δὴ τοῖς ἐπιοῦσι διαμαχόμενοι 4
ἔν τε τῷ σφαλερῷ τῆς ἐλπίδος καὶ τῷ ἐπικινδύνῳ ἠμύ-
νοντο. ἦν δὲ αὐτοῖς ἐπὶ τριχὸς ἡ σωτηρία διηνεκὲς καὶ 5
ἐπὶ θατέρου σκέλους ἑστῶσα, πολεμουμένοις μὲν ὑπὸ
τῶν Μαυρουσίων, ὑπὸ δὲ τῶν Βανδίλων ἀμελουμένοις.

1 οὖν A] αὐτῶι V. 1—2 ἰουστινιανῷ V] ἰουστινιανὸς A. 2 δὲ A] δὲ τῇ V. 2—3 Προκονσουλαρία Maltr.] προκουνσουλαρία V. 3 Βάγα] βάνα V, βαγὰ A. 7 διασώσασθαι οἵαν τε εἶναι V] διεσώσατο A. 11 ἀδράμυτος V] ἀδράμυττος A, Ἀδράμητος scribit Procopius saepe in libro IV. de bellis, cf. indicem.

6 ἀλλ' ἡνίκα Λιβύης κύριος τῷ πολέμῳ βασιλεὺς Ἰουστι-
νιανὸς γέγονε, τεῖχός τε τῇ πόλει εὐμέγεθες ἄγαν περι-
βαλὼν καὶ φρουρὰν ἐνταῦθα στρατιωτῶν καταστησάμε-
νος ἀξιόχρεων θαρσεῖν τε ὑπὲρ ἀσφαλείας τοὺς τῇδε
ᾠκημένους πεποίηται ἀφροντιστῆσαί τε πολεμίων ἁπάν-
7 των. διὸ δὴ αὐτὴν καὶ Ἰουστινιανὴν καλοῦσι τανῦν,
σῶστρα τῷ βασιλεῖ ταῦτα ἐκτίνοντες, μόνῃ τοῦ ὀνόματος
B 341 τῇ παρενθήκῃ τὴν εὐγνωμοσύνην ἐπιδεικνύμενοι, ἐπεὶ
ἄλλο οὐδὲν ὅτῳ ἂν καὶ βασιλέως τὴν ἀγαθοεργίαν ἀμεί-
βοιντο οὔτε αὐτοὶ εἶχον οὔτε οὗτος ἐβούλετο.
8 Ἦν δέ τι καὶ ἄλλο ἐν τῇ τοῦ Βυζακίου παραλίᾳ χω-
ρίον, ὅπερ ἐκάλουν Καπούτβαδα οἱ ἐπιχώριοι. ἐνταῦθα
καταπλεύσας τὰ πρῶτα ὁ τοῦ βασιλέως στόλος Λιβύων
τῆς γῆς ἐπεβάτευεν, ἡνίκα ἐπὶ Γελίμερά τε καὶ Βανδί-
9 λους ἐστράτευεν. οὗ δὴ καὶ τὸ θαυμάσιον ἐκεῖνο καὶ
λόγου κρεῖσσον ἐς τὸν βασιλέα ἐπιδέδεικται ὁ θεὸς δώ-
P 116 ρημα, ὅπερ μοι ἐν τοῖς ὑπὲρ τῶν πολέμων δεδήλωται
10 λόγοις. ἀνύδρου γὰρ τοῦ χωρίου τὰ μάλιστα ὄντος,
ὕδατός τε ἀπορίᾳ πολλῇ πιεζομένου τοῦ Ῥωμαίων στρα-
τοῦ, ἡ γῆ, πρότερον ἐπὶ ξηροῦ βεβαιότατα οὖσα, πηγὴν
ἀνῆκεν, οὗ δὴ τὸ χαράκωμα οἱ στρατιῶται εἰργάζοντο.
11 οἱ μὲν γὰρ ὤρυσσον, ἡ δὲ ἀνεβλύστανεν. ἥ τε γῆ αὐχμὸν
ἀποβαλοῦσα τὸν ἐπιχώριον καὶ μεθαρμοσαμένη τὴν αὐτῆς
12 φύσιν ὕδατι ποτίμῳ ὑγρὰ ἐγεγόνει. ταύτῃ τε τὸ λοιπὸν
ἐν ἐπιτηδείῳ στρατοπεδευσάντές τε καὶ αὐλισάμενοι, καὶ
τῇ ὑστεραίᾳ ὡς ἐς τὴν μάχην συσκευασάμενοι, ἵνα τὰ
13 ἐν μέσῳ συντέμω, Λιβύην ἔσχον. μαρτυρίῳ τοίνυν διη-
νεκεῖ τὸ τοῦ θεοῦ δῶρον πιστούμενος Ἰουστινιανὸς βα-

17 cf. I 381, 6.

9—10 ἀμείβοιντο V] ἀμείβειν A. 10 οὗτος V] αὐτὸς A. 12 κακουδβαδὰ codd., cf. I 376, 1. 16 ὁ θεὸς ἐπιδέδεικται A.

σιλεύς, ᾧ δὴ βουλομένῳ τὰ ἀμηχανώτατα εὔκολα γίνεται,
ἐς πόλιν αὐτίκα μεταβιβάσαι τὸ χωρίον τοῦτο βεβού-
λευται, τείχει μὲν ἐρυμνήν, τῇ δὲ ἄλλῃ κατασκευῇ ἐς
πόλεως ὄγκον ὑπογεγραμμένην εὐδαίμονος, καὶ γέγονεν
ἔργον τὸ τοῦ βασιλέως ἐνθύμημα. τεῖχός τε γὰρ ἀπο- 14
τετόρνευται καὶ πόλις, καὶ ἀγροῦ τύχη ἐξαπιναίως ἀμεί-
βεται. οἵ τε ἄγροικοι τὴν ἐχέτλην ἀπορριψάμενοι πολι- 15
τικῶς βιοτεύουσιν, οὐκ ἄγροικον δίαιταν ἔτι, ἀλλ' ἀστείαν B 342
διαχειρίζοντες. ἐπεὶ καὶ ἀγοράζουσιν ἐνταῦθα διημε- 16
ρεύοντες, καὶ ὑπὲρ τῶν σφίσιν ἀναγκαίων ἐκκλησιάζουσι,
καὶ ἀγορὰν ἀλλήλοις συμβάλλουσι, τἆλλα τε ἅπαντα πράσ-
σουσιν ὅσα δὴ ἐς πόλεως ἀξίωμα ἥκει.
Ταῦτα μὲν ἐν Βυζακίῳ τῷ ἐπιθαλασσίῳ πεποίηται. 17
κατὰ δὲ τὴν μεσόγειαν ἐς τῆς χώρας τὰ ἔσχατα, ἵνα δὴ
αὐτὴν βάρβαροι προσοικοῦσι Μαυρούσιοι, ἐπιτειχίσματα
κατ' αὐτῶν πεποίηται δυνατώτατα, ἐξ ὧν δὴ οὐκέτι οἷοί
τέ εἰσι καταθεῖν τὴν Ῥωμαίων ἀρχήν. πόλεις τε γὰρ 18
τὰς ἐνταῦθα οὔσας ἐν ἐσχατιᾷ τῆς χώρας ἑκάστην τειχε-
σιν ἐχυροῖς ἄγαν περιβαλών, αἷς αἱ προσηγορίαι Μάμ-
μης τε καὶ Τελεπτὴ καὶ Κούλουλις, καὶ φρούριον τειχι-
σάμενος, ὅπερ καλοῦσιν οἱ ἐπιχώριοι Αὐμέτρα, ἐχεγγύους
ἐνταῦθα φρουροὺς στρατιωτῶν κατεστήσατο.

ζ. Τρόπῳ δὲ τῷ αὐτῷ Νουμιδίων τῇ χώρᾳ τειχίσματί
τε καὶ στρατιωτῶν φυλακτηρίοις τὴν ἀσφάλειαν προσ-
εποίησεν, ὧνπερ ἕκαστα ἐρῶν ἔρχομαι. ὄρος ἐστὶν ἐν 2
Νουμιδίᾳ, ὅπερ Αὐράσιον ἐπικέκληται, οἷον δὴ γῆς τῆς P 117

20 Κούλουλις] cf. Vict. Vit., ed. Halm p. 67, Hierocl. ed. Parthey p. 79.

5—6 ἀποτετόρευται A. 6 πόλις A] πόλιν V. 6—7 ἀμείβεται l. A] βεται evanuit in V. 8 ἀγροίκων A. 14 μεσόγειαν V] μεσόγειον A. 18 ἑκάστην scripsi] ἑκάστη codd. 19 ἐχυροῖς V] ὀχυροῖς A.

3 οἰκουμένης ἑτέρωθι ὡς ἥκιστα ξυμβαίνει εἶναι. τοῦτο
γὰρ τὸ ὄρος οὐρανόμηκες μὲν ἐν τῷ ἀποτόμῳ ἀνέχει, ἐς
περίμετρον δὲ ἡμερῶν μάλιστα διήκει ὁδῷ τριῶν. καὶ
προσιόντι μὲν ἀπρόσβατόν ἐστιν, ἀνάβασιν οὐδεμίαν ὅτι
4 μὴ ἐν ἀποκρήμνῳ ἔχον. ἄνω δὲ γενομένῳ γεώδης τε ἡ
χώρα καὶ ὁμαλῆ τὰ πεδία καὶ ὁδοὶ προσηνεῖς, λειμῶνες
εὔνομοι, παράδεισοι κατάφυτοι δένδροις, ἀρόματα πάντα.
5 καὶ πηγαὶ μὲν ἀποβλύζουσαι τῶν τῇδε σκοπέλων, γαληνὰ
δὲ τὰ ὕδατα, καὶ ποταμοὶ πλήθει ῥοθίου ἐπικυρτούμενοι,
καὶ τὸ δὴ πάντων παραδοξότατον, τά τε λήϊα καὶ τὰ
B 343 δένδρα ἐν τούτῳ τῷ ὄρει διπλάσιον μεγέθους πέρι τὸν
καρπὸν φέρουσιν ἢ ἐν Λιβύῃ τῇ ἄλλῃ πέφυκε γίνεσθαι.
6 τὰ μὲν οὖν ὄρους τοῦ Αὐρασίου ταύτῃ πῃ ἔχει. Βαν-
δίλοι δὲ αὐτὸ σὺν πάσῃ Λιβύῃ τὸ κατ' ἀρχὰς εἶχον, οὓς
7 δὴ Μαυρούσιοι ἀφελόμενοι τῇδε ἱδρύσαντο. Μαυρου-
σίους δὲ καὶ Ἰαύδαν, ὃς αὐτῶν ἦρχεν, ἐξελάσας ἐνθένδε
Ἰουστινιανὸς βασιλεύς, τῇ ἄλλῃ προσεποίησε Ῥωμαίων
8 ἀρχῇ. προνοήσας τε ὡς μὴ καὶ αὖθις οἱ βάρβαροι κα-
κουργοῖεν ἐνταῦθα ἰόντες, πόλεις μὲν ἀμφὶ τὸ ὄρος ἐρή-
μους τε καὶ ἀτειχίστους τὸ παράπαν εὑρὼν ἐτειχίσατο,
Πεντεβαγάην τε λέγω καὶ Φλωρεντιανὴν καὶ Βάδην τε
καὶ Μήλεον καὶ Ταμουγάδην, ἔτι μέντοι καὶ φρούρια
δύο Δάβουσίν τε καὶ Γαιανά, φυλακτήρια δὲ στρατιω-
τῶν διαρκῆ ἐνταῦθα καταστησάμενος, οὐδεμίαν τοῖς
ἐκείνῃ βαρβάροις ἐλπίδα τῆς ἐπὶ τὸ Αὐράσιον ἐπιβουλῆς
9 ἀπελίπετο. καὶ χώραν δὲ τὴν ὑπὲρ τὸ Αὐράσιον ὑπὸ

2 cf. I 478, 15.

3 ὁδῷ V] ὁδὸν A. 7 παράδεισοι l, A] παράδεισ evanuit
in V. ἀρώματα codd. πάντα l, A] parum exstat in V.
10 παραδοξότατον A] παραδοξότερον V. 11 δένδρα A] δένδρη
V. περὶ codd. 26 ἀπελίπετο V] ἀπελείπετο A. αὐράσιον
l] ἀβράσιον V.

Βανδίλοις ὡς ἥκιστα οὖσαν τοὺς Μαυρουσίους ἀφείλετο.
πόλεις τε ἐνταῦθα ἐτειχίσατο δύο, τήν τε Φρίκην καὶ
Σίτιφιν. ἐν δὲ δὴ πόλεσι ταῖς ἐπὶ Νουμιδίας τῆς ἄλλης 10
κειμέναις ἀνανταγώνιστα ἐρύματα κατεστήσατο. αἷς αἱ
προσηγορίαι αἵδε εἰσί· Λαριβουζουδούων, Παρατουρών,
Κιλανά, Σικκαβενερία, Τίγισις, Λαμφουαομβά, Καλαμάα,
Μέδαρα, Μέδελα. ἔτι μέντοι καὶ φρούρια δύο, ἡ Σκιλή 11
τε καὶ Φώσαλα. ταῦτα μὲν ὧδέ πῃ ἔσχε.

Πόλις δέ πού ἐστιν ἐν τῇ νήσῳ Σαρδοῖ, ἣ νῦν Σαρ- 12
δινία καλεῖται, Τραϊανοῦ [φρούριον] Φόρον αὐτὴν κα-
λοῦσι Ῥωμαῖοι. ταύτην τειχήρη πεποίηται Ἰουστινιανός, 13
οὐ πρότερον οὖσαν, ἀλλὰ Μαυρουσίοις τοῖς νησιώταις,
οἳ Βαρβαρικῖνοι ἐπικαλοῦνται, ὁπηνίκα ἂν ληΐζεσθαι
βουλομένοις ᾖ, ἐν προχείρῳ κειμένην.

Ἐν δὲ Γαδείροις, κατὰ θάτερα τῶν Ἡρακλέους στη- 14
λῶν, ἣ τοῦ πορθμοῦ ἐν δεξιᾷ ἐστι, κατὰ τὴν Λιβύης
ἀκτὴν φρούριον ἦν ποτε Σέπτον ὄνομα, ὅπερ ἐδείμαντο
μὲν ἐν τοῖς ἄνω χρόνοις Ῥωμαῖοι, Βανδίλων δὲ οὐκ ἐπι-
μελουμένων καθεῖλεν ὁ χρόνος. ὁ δὲ καθ' ἡμᾶς βασι- 15
λεὺς Ἰουστινιανὸς τείχει μὲν ἐρυμνόν, φυλακτηρίῳ δὲ
ἰσχυρὸν κατεστήσατο. οὗ δὴ καὶ νεὼν ἀξιοθέατον τῇ 16
θεοτόκῳ ἀνέθηκεν, ἀναψάμενος μὲν ἐπ' αὐτῆς τὰ τῆς
πολιτείας προοίμια, παντὶ δὲ ἀνθρώπων τῷ γένει ταύτῃ
ἄμαχον τὸ φρούριον τοῦτο ποιούμενος.

Ἀλλὰ ταῦτα μὲν τοιαῦτά ἐστιν. ἀμφίλεκτον δὲ οὐδὲν 17
γέγονεν, ἀλλ' ἔνδηλον ἀνθρώποις διαφανῶς πᾶσιν, ὡς
ἐκ τῶν ἑῴων ὁρίων ἄχρι ἐς δύοντά που τὸν ἥλιον, ἃ δὴ B 344
πέρατά ἐστι τῆς Ῥωμαίων ἀρχῆς, οὐκ ἐρύμασι μόνοις,

6 Κιλανά, Σικκαβενερία scripsi] κιλανάσικα, βενερία V.
10 [φρούριον] inclusi. 13 βαρβαρικ/νοι V. cf. I 482, 4, omis-
sum est in l, spatio vacuo relicto. ὁπηνίκα l] ʿ//ηνίκα V.
17 σεπτὸν A. 25 οὐδὲν V] οὐδενὶ A.

ἀλλὰ καὶ στρατιωτῶν φυλακτηρίοις Ἰουστινιανὸς βασι-
18 λεὺς τὴν πολιτείαν ἐκρατύνατο. ὅσα μὲν οὖν τῶν Ἰου-
στινιανοῦ οἰκοδομημάτων μαθεῖν ἴσχυσα ἢ αὐτόπτης
γεγενημένος ἢ τῶν θεασαμένων αὐτήκοος, ὅση δύναμις
19 τῷ λόγῳ ἐπῆλθον. ἐξεπίσταμαι δὲ ὡς πολλά με καὶ ἄλλα
παρῆλθεν εἰπεῖν ἢ ὄχλῳ λαθόντα ἢ παντάπασιν ἄγνωστα
20 P 118 μείναντα. ὥστε εἴ τῳ διὰ σπουδῆς ἔσται διερευνήσασθαί
τε ἅπαντα καὶ τῷ λόγῳ ἐνθεῖναι, προσέσται αὐτῷ τά τε
δέοντα πεπραχέναι καὶ φιλοκάλου κλέος ἀπενεγκεῖν.

---

2 ἐκρατύνατο τὴν πολιτείαν V pr. m. 5 ἐξεπίσταμαι] αι evanuit in V. 7 εἴ τῳ V] ὅτῳ A. 9 πεπραχέναι V pr. m. corr.] πεπραγέναι V pr. m., πεποιηκέναι A.

INDEX NOMINUM

(Numeris Romanis significantur libri de bellis. an. = anecdota sive historia arcana vol. III, 1. ae. = de aedificiis sive περὶ κτισμάτων vol. III, 2.)

INDEX GRAECITATIS

* indicat ea vocabula, quae desiderantur in lexicis Stephani et Sophoclis et in Cumanudis συναγωγῇ λέξεων ἀθησαυρίστων et in Herwerdeni lexico suppletorio.

† indicat ea vocabula, quae in Stephani aut Sophoclis lexicis aut ex Procopio solo aut ex veteribus lexicis citantur.

ἀταλαίπωρος: non accuratus, levis. ἀταλαίπωρον τὴν περὶ αὐτῶν ποιούμενοι δόξαν I 1, 8. ἀταλαιπώρως I 1, 11.

ἀτελεύτητος: infinitus. I 24, 4. an. 15, 39. an. 21, 8. an. 26, 20 an. 27, 4.

ἀτημελημένος v. l. pro ἀπημελημένος III 21, 11.

ἀτιμία: ἐν ἀτιμίᾳ ἐφύλασσεν infami custodia asservavit I 5, 19.

ἀτόπημα, ατος, τό: delictum, scelus. I 24, 7.

ἀτοπία: pravitas, nequitia. εἰς τοῦτο ἀτοπίας ἐληλακότος V 3, 11. ἐς τοσοῦτον ἀτοπίας ἐληλακεν an. 22, 5. εἰς πᾶσαν ἰδέαν ἀτοπίας ἐνέπιπτον VII 9, 1.

ἄτοπος: scelestus. I 23, 1.

ἀτρεμὴς θάλασσα: mare placidum ae. I 11, 3.

ἄτρεπτος: ἐχθρὸς ἄτ. inimicus implacabilis an. 13, 16.

αὐθαδιάζομαι, αὐθαδίζομαι: meo arbitratu ago an. 14, 5. an. 16, 2.

αὖλαξ, ακος, ἡ = ἄλοξ. VI 20, 16.

αὐλήτρια, ἡ: tibicina. an. 9, 2.

αὐτογνωμονέω: meo arbitratu ago. II 28, 21. an. 17, 27. ae. II 3, 8.

αὐτοκράτωρ: imperator, rex. saepissime, velut Ἀναστάσιον αὐτοκράτορα I 7, 1. Ἀναστάσιος ὁ Ῥωμαίων αὐτοκράτωρ I 16, 4. III 1, 17. III 7, 1; 27. IV 9, 2. Γιζέριχον ἤδη αὐτοκράτορα ὄντα III 3, 33. τὴν αὐτοκράτορα ἀρχὴν = imperium I 17, 10. I 25, 8. II 8, 66. II 5, 1. II 28, 11. στρατηγὸς αὐτοκράτωρ ἐφ' ἅπασι Βελισάριος ἦν V 5, 4. αὐτοκράτωρ τοῦ πολέμου I 8, 20. II 18, 6. III 6, 2. VI 22, 4. VII 21, 25. αὐτοκρ. τοῦ στρατοῦ VI 18, 4.

αὐτοματίζω: ultro conficio. VII 32, 10. VIII 32, 29.

αὐτόματος κληρονόμος: is, qui vi et fraude hereditatem occupat an. 12, 11. an. 29, 13.

αὐτόνομος: γνώμῃ αὐτονόμῳ ad suum arbitrium II 4, 20. II 18, 6. an. 14, 5. an. 30, 28. αὐτονόμῳ γνώμῃ VI 12, 39. VII 1, 22. αὐτόνομον τὴν . . γνῶσιν ποιεῖσθαι ad suum arbitrium decernere V 8, 29.

αὐτοσχεδιάζω: ex improviso facio, paro; subito facio, paro. γέφυραν II 21, 22. κριόν VIII 11, 29. νίκην II 9, 9. τὴν αἵρεσιν VI 16, 6. ἐπὶ καιροῦ αὐτοσχεδιάζοντες τὰ πολέμια per occasionem bellatores facti ae. IV 2, 15.

αὐτουργός: qui per se ipse agit. στρατηγός τε ἄριστος καὶ αὐτουργός δεξιός V 16, 3; VII 40, 9. τολμητής τε ἦν καὶ αὐτουργὸς ἐν τοῖς μάλιστα VI 10, 10. τῶν πεπραγμένων αὐτ. VII 25, 13. τῶν πρασσομένων VIII 20, 47. οἱ τοῦ φόνου αὐτουργοί qui sua manu caedem perpetraverunt II 3, 8.

αὐχμάω = αὐχμέω. αὐχμῶντας VI 18, 2. ae. IV 9, 14.

ἀφανίζω ἐξ ἀνθρώπων: interficio. III 4, 9. IV 25, 9. IV 27, 34. V 2, 10. VI 14, 2. VIII 11, 8. an. 3, 20. an. 5, 38. an. 6, 5. an. 16, 4. ἐξ ἀνθρώπων ἀφανίζομαι: necor, morior. I 2, 11. I 5, 39. I 11, 37. I 21, 19. I 23, 9; 22. II 8, 26. III 1, 2. III 4, 39. III 7, 8. III 8, 1. III 17, 12. IV 4, 19. IV 22, 12. IV 24, 9. IV 28, 46. V 2, 2. V 3, 11. V 4, 25. V 13, 1. V 24, 26. VI 17, 3. VII 1, 42. VII 2, 8. VII 4, 29. VII 5, 14. VII 23, 6. VII 30, 4. VII 31, 16. VII 35, 17; 18. VII 39, 14. VII 40, 9; 26. VIII 2, 12. VIII 8, 7. VIII 10, 10. VIII 22, 31. VIII 24, 6. VIII 27, 19. VIII 32, 31. an. 6, 11; 20. an. 7, 38. an. 12, 10. an. 16, 4. an. 17, 19; 23. an. 20, 17. an. 29, 19. ae. III 1, 10.

ἀφεγγής: exiguus. ae. I 3. 14.

ἀφίημι: ἀφίεμεν λέγειν praeterimus II 3, 42. τὴν ὁμολογίαν ἀφέντα pollicitum II 5, 30.

ἄφοδος: profectio. II 13, 2. III 2, 19. τὴν ἄφοδον ἐποιήσατο domum rediit VI 26, 1.

ἄφορος: sterilis. c. genet. ae. V 8, 1.

ἄχθομαι: c. acc. ὅνπερ ὁ ἐλέφας ἀχθόμενος VIII 14, 37.

ἀψίς, ῖδος, ἡ: arcus. τῶν ἀψίδων (λώρους δὲ αὐτὰς οἱ μηχανοποιοὶ ἐπικαλοῦσι) ae. I 1, 68. I 1, 39; 40; 43; 44; 71; 73; 74; 77. ae. I 4, 15. ae. IV 8, 17. ae. V 5, 11. ae. V 6, 24.

ἀωρὶ νύκτωρ: VII 32, 9. VIII 29, 13. an. 12, 27. ἀωρὶ τῶν νυκτῶν VI 12, 6. VII 9, 21. VIII 20, 51. an. 16, 17.

ἀωρία: πραγμάτων ἦν ἀωρία πολλή illa aetas alienissima erat ad res gerendas an. 14, 1.

Βαθμός: gradus. ae. I 2, 1. Meton. an. 24, 4. an. 24, 30.

βάλας†: φαλιόν, βάρβαροι δὲ βάλαν καλοῦσι. βάλας dicitur equus, cuius caput album, reliquum corpus fuscum est. V 18, 6.

βαλλίστρα, ας, ἡ: ballista. V 21, 14. V 22, 21. VIII 36, 9.

βαμβαίνω: balbutio. an. 1, 4.

βάνδον, τό: vexillum praetorium. τὸ σημεῖον, ὃ δὴ βάνδον καλοῦσι Ῥωμαῖοι IV 2, 1. cf. βανδοφόρος.

βανδοφόρος: sic dicebatur is, qui in acie vexillum praetorium ferre consueverat. ὁ δὲ ἕτερος τὸ σημεῖον τοῦ στρατηγοῦ ἐν ταῖς παρατάξεσιν εἰωθὼς φέρειν, ὃν δὴ βανδοφόρον καλοῦσι Ῥωμαῖοι IV 10, 4.

βαπτίζω: baptizo. III 12, 2. τὰ παιδία τῷ θείῳ βαπτίζειν λουτρῷ IV 14, 15. σοὶ βεβαπτισμένῳ ταῖς συμφοραῖς tibi malis merso IV 6, 25.

βάπτισμα, ατος, τό: baptisma. IV 14, 14.

βαπτιστής: baptista. ae. I 8, 15; 16.

βαρβαρόω: βεβαρβαρωμένος barbarus factus VIII 22, 6. ae. III 7, 12.

βαρέω: gravo. an. 14, 10.

βᾶρις, pl. βάρεις, βάρεων, βάρεσι. V 26, 10; 11; 13. VIII 20, 54; 55. ae. I 6, 7.

βασιλεία: imperium. διὰ μέγεθος τῆς βασιλείας ae. I 11, 24. ae. II 1, 3.

βασιλίς, ίδος = βασιλεία: regnum. an. 14, 14.

βασκανία, ἡ: criminatio. βασκανίαν ἐς Βελισάριον ἔχοντες διέβαλλον αὐτὸν VI 30, 1.

βαφή, ῆς: color. an. 25, 21.

βδάλλω: mulgeo. γάλα βδάλλειν ae. III 6, 21.

βέντος: βέντος ἄνεμον τῇ Λατίνων φωνῇ δύναται V 15, 4.

διαλλακτής, ὁ: pacificator. V 1, 24.

διαλλάσσον, τό: differentia. πολλῷ τῷ διαλλάσσοντι V 29, 4. VII 4, 10. VIII 30, 1. an. 12, 15.

διαλοιδορέομαι: aor. διαλοιδορησάμενος an. 16, 18.

διαλυτής: eversor. αὐτῆς (sc. τῆς εἰρήνης) I 14, 2. τῆς προθυμίας I 18, 24. τῆς ἑταιρίας IV 14, 27. τῆς τυραννίδος VII 32, 6.

διαμάχομαι: τὸ διαμαχόμενον τῆς γνώμης dissensio. VII 4, 9.

διαμείβω: transgredior. αὐτόν (sc. τὸν Φᾶσιν) τε διαμείψας VIII 13, 3.

διαμέλλω: οὐδὲν διαμελλήσας sine mora II 5, 4.

διαμετρέομαι: percurro, percenseo. ἅπερ μοι διαμετρήσασθαι ἀναγκαιότατον ἔδοξεν εἶναι VIII 1, 12. VIII 5, 32. τὰς Ἰουστινιανοῦ βασιλέως οἰκοδομίας διαμ. ae. IV 1, 1. τὸν βίον διαμετρέομαι: morior. VII 40, 9. ae. III 1, 9.

διαμισθαρνέω† f. l. pro μισθαρνέω an. 21, 20. app. crit.

διανίστημι: τοὺς Χριστιανοὺς διαν. Christianos alium contra alium incito. an. 10, 15.

διαπεραιόω: traicio. διαπεραιώσονται στόλον ae. V 1, 10.

διαπετάννυμι: porrigo. τοὺς δακτύλους διαπετάσας ae. I 2, 12.

διαπονέομαι pro διαπονέω: ae. V 6, 10.

διαπόνημα, ατος, τό: artificium. ae. IV 9, 5. διαπονήματα ἡμῖν τοῦ πολέμου γεγενημένους praemia laboris bello suscepti VIII 19, 20.

διαπορθμεύομαι: transeo. II 29, 23. II 30, 27. III 1, 12. V 1, 18. VII 18, 11. VII 27, 18. VII 30, 2. VII 34, 10. VII 39, 2. VII 40, 11; 24; 29. VIII 5, 12. VIII 7, 12. VIII 18, 28. VIII 20, 55. VIII 22, 21. VIII 26, 5. VIII 26, 23. VIII 28, 6. VIII 34, 10. an. 30, 9. ae. IV 1, 34. ae. IV 8, 20. ae. V 3, 8.

διαρήματα†: ἐς λέμβους μεταβιβάσαντες, οὕσπερ καλεῖν διαρήματα νενομίκασιν ae. VI 1, 3.

διαρκῶς ἔχω τινός: satis multa habeo VII 12, 3.

διαρρέω: dilabor. τὸ ἐκείνῃ τεῖχος διερρυήκει V 23, 15. διερρυηκότα τὸν περίβολον ae. VI 5, 8. V 24, 23; 24.

διασκευάζομαι: ἐπιστολὰς διεσκευασμένοι cum epistulas confinxissent an. 12, 5.

διασκοπέομαι = διασκοπέω. I 17, 16. I 24, 33. II 8, 20. II 9, 13. VIII 28, 7.

διασῴζομαι pro διασῴζω: ae. V 3, 6.

διατείνομαι: contendo. σπουδάζων τε καὶ διατεινόμενος VII 35, 11. VIII 14, 3. VIII 34, 10. an. 11, 12. an. 27, 18. τὸν ὄλεθρον διατείνεσθε ad interitum contenditis VIII 12, 4.

διατίθεμαι: εἰ ἐς ὁμοίαν τινὰ τοὺς ἀνθρώπους ἀνάγκην διάθοιτο si in eandem necessitatem adduceret I 1, 1. πόλεμον διαθεμένοις eis, qui bellum susceperunt II 4, 19.

διατρέχω: intercedo. ὑπὲρ δὲ μηνῶν ὀκτωκαίδεκα, οὓς δὴ μετὰ τὴν προτέραν ἐκεχειρίαν ἐς ταύτην διαδραμεῖν μεταξὺ ἔτυχεν VIII 15, 3.

διατριβή: διατριβὴν ἔχω sum aliquo loco, versor in aliqua re. I 4, 28. I 6, 4. I 20, 4. II 22, 7. II 28, 33. III 14, 10. IV 25, 1; 18. IV 27, 6. VI 8, 8. VI 15, 32. VII 3, 2. VII 14, 3. VII 18, 11. VII 16, 9. <VII 16, 1>. VII 35, 3. VII 39, 10; 19. VII 40, 21; 26. VIII 9, 18. VIII 10, 10. VIII 21, 10. VIII 23, 4. VIII 25, 13. an. 1, 31. an. 2, 5. an. 15, 36. an. 30, 27. ae. I 11, 2. ae. IV 7, 17. ae. VI 4, 7. διατριβήν τινα ποιεῖσθαι VII 11, 26. IV 7, 13. διατρ. ἔχειν ἀμφί τι versari in aliqua re, studium conferre in aliquid VII 35, 11. VII 40, 3.

δίαυλος: διαύλους ποιοῦμαι inambulo I 5, 23. an. 12, 21 cum Suida scribendum ποιεῖσθαι.

διαφεύγω: διέφυγον μὴ δοῦναι τὴν δίκην poenam effugerunt an. 8, 10.

διαφθορέω = διαφθείρω ae. VI 5, 6.

διαφιλονεικέω: litigo. III 19, 13. VIII 15, 2.

διαχειμάζω: hiemo. II 14, 8.

διαχειρίζω: tracto. ξίφη VIII 32, 7. γράμματα an. 24, 30. διαχειρίζομαι: neco. I 5, 39. an. 1, 22. an. 3, 1.

διαχράομαι: consumo, perdo. πέτραι . . . τὰς ναῦς διαχρῶνται ae. VI 3, 7.

διαψιθυρίζω: susurro aliquid, cum susurro explico. διαψιθυριζόμενα . . . λόγῳ τῷ εἰκότι δοκοῦντι εἶναι VIII 32, 30. τὸν νεὼν . . . διαψιθυρίσαι τῷ λόγῳ ae. I 3, 7.

διέξοδος: porta, angustiae. VIII 3, 8.

διηγέομαι: δεδιήγηται narratum est. VII 32, 46 τὰ δεδιηγημένα narrata VIII 6, 24.

διήγημα, ατος, τό: πᾶσι μέντοι ἐν διηγήμασι ἦν in sermone omnium erat VII 1, 4.

διηνεκές: Adv. an. 13, 32. an. 15, 14. an. 20, 12. 23, 1; 8. ae. I 1, 62. ae. I 6, 11. et saepissime in omnibus libris. διηνεκῶς an. 30, 31. ae. II 9, 14 et saepe.

δίοχος, ὁ = νομεύς. ἅπερ οἱ μὲν ποιηταὶ διόχους καλοῦσιν, ἕτεροι δὲ νομέας VIII 22, 12, tamen Maltr. recte videtur scripsisse δρυόχους.

διπλάσιος: τὴν μὲν προῖκα ἐν διπλασίῳ (= διπλασίαν) ἀποτιννύναι an. 17, 25.

διπρόσωπος: ἄγαλμα (Iani) . . . διπρόσωπον τὴν κεφαλὴν ἔχον V 25, 21.

δίσκος, ὁ: patera. ae. I 7, 14.

δίστομος: anceps. ξιφίδια δίστομα an. 7, 15.

δίφρος: sella. ἐς τῶν ὑπάτων ἀναβεβηκότα τὸν δίφρον I 25, 40. ἐς τὸν ὑπάτων δίφρον ἀναβεβηκότος V 1, 9.

διχότομος: dimidiatus. μετὰ τὴν πρώτην διχότομον (sc. τὴν σελήνην) V 1, 23.

διωθέομαι: cogo. διωθουμένης αὐτοὺς ἐπὶ ταῦτα τῆς χρείας VIII 30, 10. ae. II 10, 6. ae. V 5, 13.

διώμοτος: iuratus. VII 32, 46. an. 5, 28. an. 6, 25. an. 21, 19. an. 26, 2. ὁμαιχμίαν πρὸς Λαγγοβάρδας διώμοτον πεποιημένος cum foedus iureiurando sanctum cum L. inisset VII 34, 40. ὁμαιχμίαν

I 24, 8. ὁ γὰρ τοῦ ἱεροῦ τὰ μάλιστα χῶρος ἀβέβηλος . . λιτρῶν ἀργύρου μυριάδας ἐπιφέρεται τέτταρας ae. I 1, 66; quid hic significet ἐπιφέρεται, non satis apparet.

ἐπιφημίζω: dico, simulo. II 15, 35.

ἐπιφορά, ἡ: ictus. IV 28, 11.

ἐπιχειρέω ἐς: aggredior ad. II 29, 5.

ἐπιχωρέω: remitto. τὰ τέλη. an. 23, 7.

ἐπιψιθυρίζω: insusurro. an. 25, 19.

ἐποικτίζομαι: misereor. ae. V 2, 12.

ἐποχέομαι: innitor ὅτι δὴ ἐποχούμενος (ὁ πορθμὸς) τῇ τε Ἀσίᾳ καὶ τῇ Εὐρώπῃ προσβαίνει τῇ πόλει ae. I 5, 6.

ἐπωμίς, ίδος, ἡ: umerale. II 21, 6. IV 21, 7. IV 28, 22. an. 7, 14.

ἐρανίζω: ξυμμαχία πανταχόθεν ἐρανισθεῖσα societas undique confusa VIII 30, 17.

ἔργον: ἔργον πεποίηται c. infin. operam dedit, ut II 3, 47; an. 13, 32; an. 15, 24. ἔργον ἐγένετο evenit ae. V 7, 3; ae. VI 6, 13.

ἐρείδω: applico, admoveo. κλίμακας τῷ τείχει, τῷ περιβόλῳ. II 27, 19. V 10, 21. VI 13, 11. VII 38, 17. VIII 33, 22. αὐτὴν (i. e. μηχανὴν) V 21, 10. πύργον VI 12, 3.

ἐρείκιον, τό (sing.): ae. II 6, 12. ae. II 8, 9. ae. III 6, 18.

ἐρεύγομαι: ὁ Βέβιος (Vesuvius) . . . ἠρεύξατο . . . ἐρεύξεται VI 4, 21; 29.

ἐρωτόληπτος†: amore captus. an. 1, 18. an. 4, 41. ⟨an. 16, 11⟩.

ἐσάγαν sive ἐς ἄγαν: I 1, 5. I 3, 8. I 5, 10. I 19, 3. II 8, 26. III 2, 18. IV 3, 26. V 2, 3. VI 3, 3. VII 3, 14. VIII 1, 4. an. 19, 6. an. 27, 23 et saepius.

ἑσπέριος: βάρβαροι ἑσπέριοι barbari ad occidentem habitantes I 1, 1. ἐν τῇ ἑσπερίᾳ in occidente an. 12, 1.

ἐσχατογέρων: aetate confectus VII 32, 9. VII 39, 7. VIII 11, 48. an. 9, 50.

ἑταιρίζομαι: ad societatem, amicitiam mihi adiungo, mihi concilio. I 3, 5; 7. I 19, 1. I 24, 17. II 1, 12. II 2, 7. II 3, 11. II 3, 47. an. 11, 12.

ἑτερόφθαλμος: altero oculo captus. I 11, 4.

εὐαγγελία, ἡ = εὐαγγέλιον IV 4, 40.

εὐαγγέλιον, τό: nuntius bonus VIII 25, 15. πανηγυρίζουσιν εὐαγγέλια gratulationem nuntii boni faciunt VI 15, 14. εὐαγγέλια: euangelium an. 6, 28. τὰ Χριστιανῶν λόγια, ἅπερ καλεῖν εὐαγγέλια νενομίκασιν IV 21, 21.

εὐδιήγητος: facilis ad enarrandum, ad describendum. οὐκ εὐδιήγητα πάθη VIII 7, 2. VIII 25, 1. κακὰ οὐκ εὐδιήγητα ae. IV 9, 8. νεὼν οὐκ εὐδιήγητον ae. I 3, 10.

εὐέφοδος: (Ἰουστινιανὸς) εὐέφ. ῶν an 22, 32.

εὐθηνέω: affluo. VIII 2, 25.

εὐθύγλωσσος: vir rectae linguae an. 29, 12.

εὐθυωρόν: illico. I 12, 23. I 21, 27. II 22, 30. II 29, 48. III 19, 26. VI 10, 8. VIII 20, 46. VIII 23, 40. VIII 35, 29; et saepius.

εὐθύωρος f. l. pro εὐθυωρὸν ae. II 2, 21.

εὔκολος: habilis, facilis. ἦν ἐς μὲν τὰς διαβολὰς εὔκολος ἄγαν calumniis aures eius nimis patebant an. 8, 28. τῷ τῆς διανοίας εὐκόλῳ prompto ingenio an. 16, 11. πρὸς διώρυχας εὔκολος ae. II 1, 24.

εὔνομος: pecori alendo bonus. ae. II 4, 16. ae. IV 5, 28. ae. IV 7, 4.

εὐνοῦχος: ταῦρον . . . εὐνοῦχον VIII 21, 16.

εὐπατρίδης, fem. = εὐπατρίς. an. 16, 1.

εὐπορία: affluentia. ὕδατος ae. I 11, 10.

εὑρίσκω: aor. εὕρατο ae. II 10, 17. ae. IV 2, 8.

εὐσταλής: agilis. VIII 11, 48.

εὐσυνθετέω: diligenter in pacto maneo. IV 2, 3.

εὐφημέω: iubeo salvere. V 6, 4.

εὐφημία: Βελισάριον ἐν εὐφημίαις εἶχον B. laudibus celebrabant II 21, 28. Βελισάριον ἐν εὐφημίαις ποιούμενοι V 23, 27.

εὐφορέω: εὐφορῶν fertilis. παράδεισος ae. I 3, 6.

εὔφορος: c. gen. ferax. καρπῶν ἀρίστων ae. III 7, 15. ae. IV 8, 8.

ἐφέλκω: ἐς τὴν πρᾶξιν τὸν ἄνδρα ἐφεῖλκε an. 13, 19.

ἐφίεμαι: accurro I 8, 13. εἴπερ . . . φιλοχρηματίᾳ ἐφεῖντο an. 20, 15; hic locus suspectus est.

ἐχέγγυος: fidus. ἐχεγγύους φρουρούς ae. VI 6, 18.

ἐχέτλη, ἡ: stiva. ae. VI 6, 15.

ἔχομαι δρασμοῦ II 3, 30. δρασμῷ εἴχετο VIII 34, 16. δρασμοῦ (V, δρασμῷ L) ἐχόμενοι V 8, 15.

ἕωλος: serus. VIII 23, 5. VIII 30, 14.

ἑῷος: orientalis. πόλεμος I 1, 1. ἡ ἑῴα ἀρχή II 5, 6. II 6, 1. ὁ ἑῷος βασιλεύς II 10, 3. III 5, 22. τῶν ἑῴων ἐμπόρων III 20, 5. ἑῷος ἐτύγχανεν ὢν III 11, 9. τοὺς ἑῴους II 3, 48. τῶν ἐν τοῖς ἑῴοις λογίμων an. 12, 29. χώραν τὴν ἑῴαν ae. III 1, 1. ἡ ἑῴα: oriens I 8, 1. I 17, 48. I 21, 3. I 26, 1. II 14, 9. VI 6, 16. an. 4, 13; et saepius.

ἕως, ἡ: oriens. I 2, 12. I 11, 24. I 13, 9. I 25, 20; 23. II 24, 13. an. 2, 17; et saepius.

Ζέω: τῷ θυμῷ ζέων I 9, 18; II 12, 37.

ζοφώδης: obscurus. an. 3, 9.

ζυγομαχέω: πρός τινα. contendo contra aliquem. II 9, 5; IV 7, 8; VIII 27, 6. οἱ νεωτερίζουσιν ἐπὶ τοῖς νόμοις ζυγομαχοῦντες VIII 30, 5.

ζωάγρια: ζωάγρια ὀφείλων gratiam debens vitae servatae I 11, 37.

ζώνη, ἡ: cingulum. (στρατιώτας) ἀφαιρεῖσθαι τὰς ζώνας (milites) cogere cingulum deponere an. 24, 8.

Ἡγέομαι: regno. III 8, 13.

ἠλιθιάζω: desipio. an. 9, 50.

ἡλιόκαυστος: a sole ustus II 1, 6.

ἡμίκαυτος: semiustus. III 9, 24.

ἡμίκυκλος = ἡμικύκλιος. ae. I 1, 35; 36. ae. V 6, 25.

ἡμικύλινδρος, ὁ: hemicylindrus. ae. I 1, 32.

ἡμίφλεκτος: semiustus. I 24, 48.

ἡμιώριον, τό: semihora. VIII 20, 45. ae. II 9, 1.

ἤν = ἐάν. cum indicativo: I 17, 45. II 22, 8. II 23, 18. II 28, 7. III 4, 9. III 10, 11; et saepius. cum optativo: I 1, 7. I 2, 10. I 3, 12; 17. I 4, 33. I 9, 6. I 13, 20; et saepius. cf. Hartmann, Fr. Jos., Untersuchungen über den Gebrauch der Modi in den Historien des Prokop aus Caesarea. Regensb 1903, p. 11 s. et 13 sqq.

ἡνιόχησις: *τὴν ἡνιόχησιν ἐπὶ Πέρσας ποιούμενος* equos regens in Persas ae. I 2, 11.

ἦχος, ὁ = ἠχή. VIII 35, 1.

Θαλαττουργέω: res maritimas ago. an. 25, 9.

θεμέλιον, τό = *θεμείλιον*. II 14, 22. II 29, 42; 43. VIII 11, 13; 16. ae. I 3, 15. ae. I 6, 4. ae. II 1, 16. ae. IV 2, 11. ae. IV 6, 16. ae. V 6, 6; et saepius.

θεωρητικά, τά = *θεωρικά*. an. 26, 6; 33.

θήκη, ἡ: *τοῦ ξίφους* IV 28, 22.

θήραμα, ατος, τό: id, quod captatum erat I 4, 29.

θηριοκόμος†: is, cui vivarium in cura est an. 9, 2; 7.

θής, θητός, ὁ: mercenarius. an. 9, 21.

θησαυρός:

1. aerarium. *τῷ βασιλικῶν θησαυρῶν ἄρχοντι* praefecto aerarii II 1, 9. *ἄρχοντα τῶν θησαυρῶν* an. 22, 33. *ὁ τῶν θ. ἄρχων* an. 25, 26. *ὁ τοῖς βασιλικοῖς ἐφεστὼς θησαυροῖς* an. 25, 19.
2. cisterna. ae. II 2, 17. ae. II 4, 13.

θοίνη, ἡ: *ἐπὶ θοίνῃ αὐτοῦ* ut eum comederet I 3, 13.

θόλος, ἡ: fornix. ae. II 5, 8. ae. IV 10, 13; 14 (hic scripsi *τῇ* pro *τῷ*). ae. V 6, 7.

θολόω: *τεθολωμένον γειτόνημα* vicinitas sordida VIII 19, 15.

θολωτός: fornicatus. ae. IV 11, 16.

θρησκεία, ἡ: superstitio. *θρησκείαν τῆς πολυθεΐας* ae. VI 2, 15.

θρίαμβος: triumphus. IV 9, 3; 10. VII 1, 3.

θρίξ, τριχός, ἡ: *ἦν δὲ αὐτοῖς ἐπὶ τριχὸς ἡ σωτηρία* ae. VI 6, 5.

θυμέλη, ἡ: theatrum. an. 1, 11.

θύρα, ἡ: scutum. V 22, 20; 21.

θυσιαστήριον, τό: altare. *ὁ γὰρ τοῦ ἱεροῦ τὰ μάλιστα χῶρος ἀβέβηλος καὶ μόνοις ἱερεῦσι βατός, ὅνπερ καλοῦσι θυσιαστήριον* ae. I 1, 65.

Ἱδρύω, fut. *ἱδρύσομαι*, aor. *ἱδρυσάμην*: consido. III 8, 2 (bis); 22; 26. III 22, 7. V 12, 10. VI 14, 24. VI 15, 1. VIII 5, 21. ae. VI 7, 6. *ἵδρυμαι*: habito. III 2, 6. IV 20, 31. V 12, 11. V 27, 2. VI 26, 19. an. 24, 25, et saepius.

ἱεράομαι: sacerdotium habeo. ae. V 8, 5. *ἱερῶνται* VI 15, 24 f. l. est pro *ἱερεύονται*.

ἱερατεῖον, τό: secretarium. *τοῖς οὐκ ὀργιάζουσιν ἄβατος τετέλεσται χῶρος, ὅνπερ ἱερατεῖον ὀνομάζουσιν* ae. I 4, 12. *τοῦ ἱερατείου καλουμένου* ae. I 4, 14.

ἱερόδουλος, ὁ: hierodulus. ae. VI 2, 18.

ἱερουργέω: sacris operor. *τὸ θεῖον λουτρὸν ἱερουργήσας* IV 26, 25. *ἱερουργοῦντα τὰ ἄρρητα* ae. V 7, 5.

ἰκμάς, άδος, ἡ: humor, gutta. VI 14, 16.

ἱλεόομαι = ἱλάσκομαι ae. III 6, 12.

ἴλιγγος, ὁ: vertex. VIII 6, 22.

ἴνδαλμα, τό: simulacrum. VIII 8, 9. ae. I 1, 24. ae. I 11, 9.

ἱππεύομαι pro *ἱππεύω* I 1, 14. VIII 20, 18. VIII 29, 25. VIII 31, 20. VIII 32, 7; et saepius.

ἱππήλατος: *πεδία ἱππήλατα* I 10, 5. II 25, 2.

ἱπποδρόμιον, τό = *ἱππόδρομος*. I 24, 52; 56. II 8, 17. II 11, 31. II 12, 13; 18; 19. II 14, 1. III 3, 9. IV 6, 7. an. 7, 13. an. 8, 2.

ἱπποκομέω: curo equos. IV 11, 18.

ἱπποκόμος: *ἄρχων τῶν βασιλικῶν ἱπποκόμων* comes stabuli an. 4, 39.

ἱπποφορβέω = *ἱπποτροφέω* VI 3, 11.

ἰσοστάσιος: aequalis. ae. I 10, 12. *τὴν δὲ ἀξίαν οὐ παρὰ πολὺ ἀποδέων ἰσοστάσιος ἀργύρῳ εἶναι* pretio paene aequalis est argento ae. I 2, 4.

ἵστημι: *ἀντικαθίστων* II 22, 24.

ἰσχιάζω: flecto coxas. *ὀκτιάζων καὶ ἰσχιάζων καὶ πρὸς ἑκάτερα ἐγκλινόμενος* VIII 31, 20. *γελοιάζουσά τε καὶ βωμολόχως ἰσχιάζουσα* an. 9, 15.

ἰχνηλατέω: indago. an. 21, 22.

ἰχώρ, ῶρος, ὁ: sanies. VIII 25, 22.

Καθά = *καθ' ἅ*. II 21, 9.

καθαιρέω ἐς τὸ ἔδαφος: II 7, 19. *καθ. ἐς ἔδαφος* III 5, 22. IV 13, 26. ae. II 4, 8. (Thuc. III 68.) *καθ. ἐπ' ἔδαφος* ae. I 10, 2.

καθαρός: *εἴ τι καθαρὸν ἦν* nobilissimus quisque I 24, 8. II 3, 54. V 13. 17. VI 29, 18. VI 30, 4. an. 2, 31. *καθαρὸς ἀπὸ . . .* an. 21, 16.

καθείργνυμι: intercludo. *ἥνπερ (τὴν ἄνοδον) καθειργνύντες* ae. IV 9, 11.

καθίζω: *τὸν ἄνδρα ἐς ταύτας δὴ ἐπαγαγομένη τὰς ὀλοφύρσεις ἐκάθισεν* maritum in eundem fletum adduxit an. 1, 39.

καθίημι: *ἐς τὸ ἔδαφος καθῆκε τὸ σῶμα* corpus humi prostravit I 22, 13. *ἐς τὸ ἔδαφος καθῆκεν αὐτὸν* se humi prostravit II 5, 13. *ἐς θάλασσαν καθῆκε τὸ σῶμα* III 6, 24. an. 7, 38. *ἐς τὴν πρᾶξιν καθῆκεν αὐτόν* rem suscepit VII 3, 10. *καθεῖναι αὐτοὺς ἐς τὴν πρεσβείαν* suscipere VII 16, 29. *ἐπὶ πᾶν ἄγος καθεῖναι τὴν ψυχήν* suscipere omne scelus II 9, 8.

καθίστημι: *ἐς πολιορκίαν καθίσταντο* coeperunt obsidere I 9, 1. *εἰς ἐπιβουλὴν τοῦ βασιλέως καθίστατο* imperatori insidiatus est III 4, 24. *ὁ πόλεμος κατέστη* bellum ortum est III 7, 28. *ἢν τὰ πράγματα σφίσιν οὐκ εὖ καθιστάμενα ἴδοι* si videret sibi res non bene succedere IV 4, 34. *τῶν καθεσταμένων = τῶν καθεστώτων* an. 6, 21. (cf. tamen ad hunc l. app. cr.).

καθομιλέω: *τὰ καθωμιλημένα* usitata ae. III 5, 5.

καινοτόμημα, ατος, τό: novitas. *τοῖς τῶν ἐγκλημάτων καινοτομήμασιν* novis criminibus an. 21, 24.

καινούργια*, τά: nova. ae. IV 11, p. 145, 20.

καίριος: *καιρίαν τυχεῖς* vul-

II 8, 14. penna, sagitta pennata V 21, 6.
πτωχεῖον, τό: ptochium. ae. V 9, 22; 27; 34; 35; 88.
πύον, τό: pus. II 22, 37.
πυρά, τά: faces ardentes. III 23, 11.
πυρακτέω: facio, ut candeat aliquid. *περόνην σιδηρᾶν πυρακτοῦντες* I 6, 17.
πυργοκάστελλον (acc.): turris, quae tres contignationes habebat, quarum singulae lapidei fornices erant ae. II 5, 8.
πυρεῖον, τό: *τὸ μέγα πυρεῖον* apud Persas is locus, ubi ignis maxime colebatur II 24, 2.
πυρριάω: rubeo. *ἐπυρρία γὰρ καὶ δυοῖν ἡμέραιν ἀπόσιτος ὤν* an. 8, 12.
πωγωνίας, ὁ: pogonias. II 4, 2.

Ῥεῦμα, ατος, τό: mutatio. *τῆς τέχνης* VII 24, 28; IV 2, 16. fluctio: II 12, 38.
□ **ῥεφερενδάριος**: referendarius. *ὃς δὴ ἀποκρίσεσι ταῖς βασιλικαῖς ἐφειστήκει, ἀεὶ τῷ βασιλεῖ τὰς τῶν ἱκετῶν δεήσεις ἀγγέλλων, σημαίνων τε αὖθις ὅσα ἂν αὐτῷ βουλομένῳ εἴη. ῥεφερενδάριον τῇ Λατίνων φωνῇ τὴν τιμὴν ταύτην καλοῦσι Ῥωμαῖοι.* II 23, 6. an. 14, 11. an. 17, 32. an. 29, 28.
ῥέω: *ἐπὶ μέγα ῥεύσας ὁ χρόνος* longe lapsum tempus an. 1, 4.
